# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΣΕΡΑΦΕΙΜ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΦΑΝΑΡΙΟΥ ΚΑΙ ΝΕΟΧΩΡΙΟΥ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

Νεωστὶ μετατυπωθεῖσα, μετὰ τῆς ἀναγκαίας προσθήκης τῶν Τροπαρίων τῆς Ἀκολουθίας τοῦ Ἁγίου, καὶ ἐπιμελῶς διορθωθεῖσα.

Ἐτυπώθη δὲ φιλοτίμῳ δαπάνῃ τοῦ Εὐγενεστάτου Ἄρχοντος Κυρίου Κὺρ

ΔΗΜΗΤΡΙΟΥ ΤΖΙΟΛΑΚΟΓΛΟΥ

Τοῦ ἐκ Ῥεντίνης τῶν Ἀγράφων.

Petit 252/3

X 907

αψϟ'. ΕΝΕΤΙΗΣΙΝ, 1790.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

CON LICENZA DE' SUPERIORI.

Τῷ Πανοσιωτάτῳ, καὶ Σεβασμιωτάτῳ Ἁγίῳ Καθηγουμένῳ τῆς Πατριαρχικῆς καὶ Σεβασμίας Μονῆς τῆς Κυρίας ἡμῶν Θεοτόκου, τῆς ἐπονομαζομένης Πηγῆς Κρυερᾶς καὶ Κορώνης, καὶ τοῖς λοιποῖς Ὁσιωτάτοις Πατράσι τῆς αὐτῆς Μονῆς, καὶ πᾶσι τοῖς ἐνταξομένοις, τὴν ὀφειλομένην προσκύνησιν, καὶ ἐγκάρδιον προσαγόρευσιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἡ Διάπυρος καὶ διακαὴς εὐλάβεια, καὶ τὸ ὑπεράπειρον χρέος, τὸ ὁποῖον ἔχω εἰς τὸν κοινὸν ἡμῶν πατέρα καὶ ἔνδοξον Ἱερομάρτυρα τοῦ Χριστοῦ Σεραφεὶμ, διὰ τὰς κατὰ καιροὺς ἀπείρους αὐτοῦ εὐεργεσίας, εἴτουν ἰάσεις ὧν περ ἀπήλαυσεν ὁ ταπεινὸς οἶκός μου, περιόντος ἔτι τοῦ μακαρίτου μου πατρὸς, καὶ εἰς τὸν μέχρι τοῦδε καιρὸν τὸν ἡμέτερον, μὲ ἠνάγκασαν νὰ

ὑπακούσω εἰς τὸ δίκαιον θέλημα τῆς ὑμῶν Πανοσιότητος. Ὅθεν εὐθὺς ὅπου ἐπροβλήθη μοι παρ' ὑμῶν ἓν τοιοῦτον, διὰ τοῦ ὁσιωτάτου καὶ φιλοπονωτάτου συναδέλφου ἐν Ἱερομονάχοις κὺρ Ἰγνατίου, προθύμως εἰς τοῦτο συναγωνιζομένου, εἰς τὸ νὰ ἐξοδιάσω δηλαδὴ νὰ ἐκδοθῇ δεύτερος τύπος τῆς Ἀκολουθίας τοῦ Ἁγίου, μετά τινος ἁρμοδίας προσθήκης εἰς ἐκτενέστερον ὕμνον τοῦ Ἁγίου, μὲ πᾶσαν μου χαρὰν καὶ εὐχαρίστησιν εἶξα τῷ ὑμῶν δικαίῳ θελήματι· καὶ ἰδοὺ κατέβαλον ἀφειδῶς τὰ τῆς δευτέρας ἐκδόσεως ἀναλώματα, παρακαλῶν ὁλοψύχως τὸν τυπογράφον ἵνα γένηται ἡ δευτέρα αὕτη τυπογραφία, λαμπροτέρα τῆς πρώτης, διὰ νὰ εἶναι ἀναμάγμωστος εἰς τοὺς ἐντυγχάνοντας. Ἀλλ' ἐπειδὴ τὰ μὲν ἔξοδα ἑτοίμως ὑπεσχέθην, τὴν δὲ προσθήκην τῆς Ἱερᾶς Ἀκολουθίας τοῦ Ἁγίου, δι' ἣν ἠναγκάσθην νὰ γένῃ ἡ δευτέρα ἔκδοσις κατὰ τὴν ὑμῶν ζήτησιν, μὴ ἔχοντός μου πόθεν εὐχερῶς πορισθῆναι, ἐγένετο, τοῦ Ἁγίου θέλοντος, καὶ ἡ τοιαύτη διόρθωσις καὶ οἰκονομία τοιουτοτρόπως. Εἰς τὴν γείτονά μου χώραν Φουρνᾶν καλουμένην, εὑρέθη κατὰ τύχην ὁ πανοσιώτατος Ἀρχιμανδρίτης τῆς μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας κὺρ Ἰωσὴφ, γέννημα καὶ θρέμμα τῆς αὐτῆς χώρας ὤν, καὶ φίλος μου ἄριστος καὶ εἰλικρινὴς ἐκ νεαρᾶς μου ἡλικίας, ὃν καὶ παρακαλεσάμενος, καί τοι ἀποδειλιῶντα εἰς τοιοῦτον ἐγχείρημα δυσχερὲς, μέν τοι κατά τι εὐλαβῶς φερόμενον εἰς τὸν Ἅγιον, κατά τι εὐνοϊκῶς εἰς ἐμὲ, κατέπεισα εἰς τέλος, καὶ ἀπηρτίσθη κοσμίως ἡ τοῦ Ἁγίου Ἀκολουθία κατὰ τὸν πόθον καὶ τὴν αἴτησιν τῆς ὑμετέρας Πανοσιότητος. Δέξασθε τοίνυν εὐμενῶς Πατέρες σεβασμιώτατοι, καὶ πάντες οἱ ἐντυγχάνοντες τὸ ἐ-

μὸν



μὸν πρόθυμον, καὶ μνείαν ποιεῖτε διὰ παντὸς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως διὰ πρεσβειῶν τοῦ τρισμάκαρος Σεραφεὶμ, ῥύωμαι νοσημάτων παντοίων σὺν παντὶ τῷ οἴκῳ μου, καὶ ἐξαιρέτως τῆς ἐπιδημικῆς μεταδοτικῆς τε καὶ ὀλεθρίου νόσου, τῆς πανώλης, ἀφ' ἧς πολλάκις ἐῤῥύσατο ἡμᾶς οὗτος ὁ ἔνδοξος Ἱερομάρτυς Σεραφεὶμ, δωρησάμενος ἡμῖν τὴν χαριτόβρυτον, καὶ λοιμοδιώκτραν αὐτοῦ Κάραν, ὡς θυρεὸν καὶ περικεφαλαίαν. εἰς ποίαν γὰρ πολιτείαν καὶ χώραν, ἐφέτος μάλιστα ὅπου ἐξηπλώθη ἡ κατάρατος πανώλη διὰ τὰς ἁμαρτίας ἡμῶν, δὲν ἐτέλεσε σημεῖα καὶ τέρατα ἡ σημειοφόρος αὕτη τοῦ Τρισμάκαρος Κάρα; ποίαν πολιτείαν, ἢ χώραν, ἄφησε λυπουμένην καὶ μεμονωμένην ἀπὸ τοῦ τοιούτου κακοῦ; Εἰς ποίας ἄλλας ἡμῶν ἀνάγκας δὲν ἐφάνη ἀπροσμάχητος βοηθός; καὶ ὄχι μόνον εἰς ἡμᾶς τοὺς συμπατριώτας αὐτοῦ τοὺς ἐξ Ἀγράφων δηλαδὴ, δείκνυται ἀπειράκις ὀξύτατος ἰατρὸς παντοίας ἀνάγκης, ἀλλὰ καὶ εἰς ἅπασαν τὴν Ἑλλάδα, ὅπου ἤθελε προσκληθῇ εὐλαβῶς ἡ τρισόλβιος αὐτοῦ Κάρα, καὶ ψαλθῇ ἁγιασμὸς, δαίμονες εὐθέως ἐλαύνονται, νόσοι χαλεπαὶ φυγαδεύονται, ἀκρίδων ἑσμὸς λυμαντικώτατος καταφθείρεται. ἡ δὲ μυριοκατάρατος πανώλη, εὐθὺς πλησιασάσης τῆς Θαυματουργοῦ Κάρας, οἱονεὶ μαστιζομένη ὑπὸ τοῦ Ἁγίου, τὸ οὐαὶ ἐπιφερομένη ἐξοστρακίζεται θαυμασιώτατα, μονονουχὶ ὀδυρομένη καὶ κατακρώζουσα τὸ, ἄπειμι ἄπειμι Σεραφείμ. Καθὼς καὶ αὐτοὶ οἱ ἀσεβεῖς, καί τοι ἀσεβεῖς, ὁμολογοῦντες οὐ διαλείπουσιν, εἰς τόσον, ὥστε νὰ καλῶσι τὸν Ἅγιον, καὶ νὰ τὸν δέχωνται εἰς τὰ ζευγαλατεῖα αὐτῶν, πληρουμένου τοῦ, οἶδε καὶ πολέμιος θαυμάζειν ἀνδρὸς ἀρετήν. Δικαίως λοιπὸν

 καυ-

καυχώμεθα εἰς τὸν Ἅγιον Ἱερομάρτυρα τοῦ Χριστοῦ Σεραφείμ, δικαίως ἐπαγαλλόμεθα σύμπαντα τὰ Ἄγραφα, καὶ σύμπασα ἡ Ἑλλὰς εἰς τὴν ἁγίαν τούτου καὶ θαυματόβρυτον Κάραν. Αἱ ἅγιαι εὐχαὶ τῆς ὑμῶν σεβασμίου Πανοσιότητος εἴησαν μετ' ἐμοῦ διὰ βίου παντός.

͵αψπη'. Κατὰ μῆνα Νοέμβριον

Τῆς ὑμετέρας σεβασμιωτάτης Πανοσιότητος,

Κατὰ πάντα πρόθυμος καὶ ὑπήκοος εἰς τὰ δυνατὰ

Δημήτριος Γεωργίου Τζιολάκογλου
ἐκ Κώμης Ῥενδίνης τῶν
Ἀγράφων.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Μεγαλυνάρια εἰς τὸν Ἅγιον Ἱερομάρτυρα Σεραφείμ, ψαλλόμενα ὅταν ἡ τιμία αὐτοῦ Κάρα ἐξέρχηται εἰς ἐπίσκεψιν τῶν προσκαλουμένων, Λιτανείας τελουμένης.

Ἦχος β'. Τὴν Τιμιωτέραν.

Τὸν Ἱερομάρτυρα τοῦ Χριστοῦ, καὶ τὸν τῶν Ἀγράφων ἀπροσμάχητον βοηθόν, φύλακα καὶ ῥύστην τῶν ἐπικαλουμένων, τὸν Σεραφεὶμ τὸν θεῖον, ὕμνοις τιμήσωμεν.

Τὸν Φωστῆρα πάντες τὸν φαεινόν, τὸν ἐκ τῶν Ἀγράφων, ἀπαστράψαντα νοητῶς, Ποιμένων τὴν δόξαν, καὶ τῶν Μαρτύρων κλέος, τὸν Σεραφεὶμ τὸν μέγαν ὕμνοις τιμήσωμεν.

Δέησιν προσάγαγε τῷ Θεῷ, Σεραφεὶμ Τρισμάκαρ, ὑπὲρ ποίμνης τῆς σῆς Σοφέ, τῆς κεκακωμένης ὑπὸ τῶν ἀσεβούντων, τῶν σὲ μαρτυρησάντων, καὶ ταύτην λύτρωσαι.

Τοῖς ἱερομάρτυσι καὶ σεπτοῖς, θείοις Ἱεράρχαις, συγχορεύων ἐν οὐρανοῖς, Σεραφεὶμ Παμμάκαρ, ὁσίοις καὶ δικαίοις, καὶ πᾶσι τοῖς ἁγίοις, ἡμῶν μνημόνευε.

Πᾶς ὁ τῶν Μαρτύρων θεῖος χορὸς, καὶ Ἀρχιερέων, ἡ ὁμήγυρις Σεραφεὶμ, θεῖε σοῦ τὸ πνεῦμα, ἐδέξαντο σὺν πάσῃ, χαρᾷ ἐν τοῖς ὑψίστοις, ὡς τούτων σύσκηνον.

Σεραφεὶμ τοῖς ἄνω συμπαρεστὼς, θρόνῳ τῆς Τριάδος, καὶ σὺν Θρόνοις καὶ Χερουβὶμ, Σεραφεὶμ Παμμάκαρ, ἡμῶν τῶν ἐκτελούντων, σοῦ μνήμην τὴν ἁγίαν, πρόστηθι πάντοτε.

Λοιμῷ τηκομένους φθοροποιῷ, καὶ σοῦ τὴν τιμίαν, ἀρηκότας Κάραν σοφὲ, Σεραφεὶμ τρισμάκαρ, βοήθειαν μεγίστην, ταῖς σαῖς πρεσβείαις τάχος ἡμᾶς διάσωσον.

Κάραν σου τὴν θείαν ὡς θησαυρὸν, ἄσυλον πλουτοῦσα, Θεομήτορος ἡ Μονὴ, ῥύεται ποικίλων, νόσων καὶ πάσης βλάβης. Ταύτῃ οὖν καυχωμένη, χαίρει τιμῶσά σε.

Δεῦτε ἀσπασώμεθα οἱ πιστοὶ, Κάραν τὴν Ἁγίαν, τοῦ Τρισμάκαρος Σεραφεὶμ, τὴν τῶν ὀλεθρίων παντοίων νοσημάτων, ἐκ τῶν προσερχομένων ὀσμὴν διώκουσαν.

Δόξα, Τριαδικόν.

Ὢ Τριὰς Ἁγία σῶσον ἡμᾶς, τοὺς πίστει τιμῶντας, τὴν σεβάσμιον Κεφαλὴν, τὴν ἀποτμηθεῖσαν, ὑπὸ τῶν ἀλλοφύλων, τοῦ Σεραφεὶμ τοῦ θείου, τοῦ σὲ δοξάσαντος.

Καὶ

ΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ … ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Καὶ νῦν, Θεοτοκίον.

Δέσποινα δυσώπει τὸν σὸν Υἱὸν, ἀξίους γενέσθαι, βασιλείας τῶν Οὐρανῶν, τοὺς πίστει τιμῶντας τὴν σεβάσμιον Κάραν, τοῦ Σεραφεὶμ τοῦ θείου, τοῦ σοῦ θεράποντος.

Εἶτα γίνεται Ἐκτενὴ, παρὰ τοῦ Ἱερέως.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου.
Ἔτι δεόμεθα, ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων.
Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.
Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς ἡμῶν, καὶ πάσης.
Ἔτι δεόμεθα, ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης.

Καὶ μνημονεύει ὧν βούλεται.

Ἔτι δεόμεθα, καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην, (ἢ τὴν πόλιν, ἢ τὸν οἶκον τοῦτον) καὶ πᾶσαν πόλιν, καὶ χώραν, καὶ τὰ ἑξῆς.

Τὸ Κύριε ἐλέησον, μ΄.

Ἐπάκουσον ἡμῶν ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν.
Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Καὶ γίνεται Ἀπόλυσις ὡς σύνηθες.

„ Στί-

„ Στίχοι Ἰαμβικοὶ πρὸς εἰς τοὺς τὴν μονὴν ταύτην προσκυνήσεως χάριν ἐρχομένους.

Ὡς ἀπὸ τῆς τοῦ λόγου μητρός.

„ Πηγὴν ἀναψύχουσαν εὑρίσκει τάχος,
„ Ὁ πρός με φοιτῶν, ἐκ φλογὸς παθῶν δρόσον.

Ἕτερον ὡς ἀπὸ τοῦ ἐλθόντος.

„ Τῶν σῶν ναμάτων ἐμφορηθῆναι θέλων,
„ Τῷ σῷ ναῷ πάρειμι καί με προσδέχου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ὁ Σεραφεὶμ πατάσσει ἐμὲ πανώλην
τὴν βροτολοιγόν, φεῦ μοι φεῦ, πῶς ὁρῶμαι
ὑπτία, γυμνή, δυσειδής, κτεινομένη.



# ΔΕΚΕΜΒΡΙΩ Δ.

## ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

# ΣΕΡΑΦΕΙΜ,

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΦΑΝΑΡΙΟΥ, ΚΑΙ ΝΕΟΧΩΡΙΟΥ, ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ,

Ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια, ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Ὡς ἀστέρα πολύφωτον, ὡς φωστῆρα οὐράνιον, ὡς γενναῖον πρόμαχον σὲ κεκτήμεθα· ἐν πειρασμοῖς ἀντιλήπτορα, κινδύνοις καὶ θλίψεσιν, ἐν δεινοῖς καὶ χαλεποῖς, καὶ ἀκέστορα ἄριστον, ἐν νοσήμασι. διὰ τοῦτο Παμμάκαρ μὴ ἐκπαύσῃ, τὴν πρεσβείαν σου προσάγειν, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

Ἱερέων ἐν χρίσμασι, καὶ Μαρτύρων ἐν αἵμασι, τῷ Θεῷ προσήγγισας τελεώτατα, ὦ Σεραφεὶμ παναοίδιμε, Μαρτύρων ἀγλάϊσμα Ἀσκητῶν ἡ καλλονή, καὶ ἡμῶν τὸ προπύργιον τῶν τελούντων σου, τὸ μνημόσυνον Πάτερ ἐτησίως, καὶ τιμώντων σου τὴν κάραν, τὴν χαριτόβρυτον Πάνσοφε.

Ἱερέων ὁ σύλλογος, μοναζόντων τὸ σύστημα, δεῦτε εὐφημήσωμεν τὸν καλλίνικον, Ἱερομάρτυρα Σεραφείμ, τὸ ἄνθος τῆς φύσεως, τῶν πιστῶν τὴν καλλονήν, καὶ τὸν στῦλον τῆς πίστεως τὸν ἀκράδαντον, τὸν φυλάττοντα ποίμνην τὴν ἰδίαν, ἐκ παντοίων καὶ ποικίλων, πειρατηρίων καὶ θλίψεων.

Δό-

Δόξα, ἦχος α΄.

Ἀσκητικοῖς πόνοις ὡραϊσθεὶς, καὶ ἱερατικοῖς χρισθεὶς χρίσμασι, δοχεῖον τῆς ὑπερφώτου ἐδείχθης Τριάδος. ὑπὲρ ἧς καὶ τὸ αἷμά σου προθύμως ἐξέχεας, Σεραφεὶμ Πανἀοίδιμε. διὸ καὶ παρ᾽ αὐτῆς τρίπλοκον τὸν ἀμαράντινον στέφανον ἔλαβες, καὶ παῤῥησίαν ἔχεις πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς Παναγία Παρθένε.

Εἰς τὸν στίχον. ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Νόμον ὦ Σεραφεὶμ, ἐδέξω ἐκ Κυρίου, καὶ τοῦτον συντηρήσας, καὶ πάντας ἐκδιδάξας φυλάττων ὡς ἀμώμητον.

Τίμιος ἐναντίον Κυρίου ὁ Θάνατος.

Τοῖς ἄνω Σεραφὶμ, σύσκηνος σὺ ἐδείχθης, ὦ Σεραφεὶμ τρισμάκαρ, διὰ τοὺς σοὺς ἀγῶνας καὶ αἷμα ὃ ἐξέχεας.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Χρίσματι Ἱερῷ, καὶ αἵματι Ἁγίῳ, τὴν πίστιν τοῦ Κυρίου, Χριστοῦ τοῦ Λυτρωτοῦ μου, ἐστήριξας Πανὔφημε.

Δόξα, Ὅμοιον.

Τριάδα τὴν σεπτὴν, τὸν ἕνα Θεὸν μόνον, ἐδίδαξας πιστεύειν, καὶ ὑπὲρ ταύτης Πάτερ, τὸ αἷμά σου ἐξέχεας.

Καὶ νῦν. Θεοτοκίον.

Νύμφη σὺ τοῦ Χριστοῦ, καὶ σκήνωμα τοῦ Λόγου, τοῦ Πνεύματος δοχεῖον, Παρθένε Θεοτόκε, ἐγένου Παναμώμητε.

Τὸ νῦν ἀπολύεις. Τρισάγιον. Τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, ἦχος δ΄. Ὁσίως τὸν βίον σου. Ζήτει εἰς τὸν μέγαν Ἑσπερινόν. Δόξα, καὶ νῦν. Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον. καὶ τὰ λοιπὰ ὡς σύνηθες, Καὶ Ἀπόλυσις.

Ἐν



Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, τὸ, Μακάριος ἀνὴρ, τὸ α΄. Ἀντίφωνον. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. η΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ποίημα, Ἀναστασίου Ἱερομονάχου, τοῦ Γορδίου. ἦχος α΄.
Τῶν Οὐρανίων Ταγμάτων.

Ὡς φαεινόν σε φωστῆρα Πάτερ γινώσκομεν, καὶ Ἱεράρχην θεῖον, τῆς σεπτῆς Ἐκκλησίας. ὅθεν καταχρέος πίστει τὴν σὴν, ἐπιτελοῦμεν πανήγυριν. καὶ πρὸς Χριστὸν τὸν Σωτῆρα μέμνησο νῦν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

Σὺ τῶν Ἀγγέλων ὑπάρχεις τὸ ἀγαλλίαμα, Ἀρχιερέων δόξα, καὶ Μαρτύρων ἀκρότης, Πάτερ Θεοφόρε. ὅθεν τὴν σὴν, συνελθόντες δοξάζομεν, μνήμην ἀξίως ἱκέτευε Σεραφεὶμ, τὸν Χριστὸν ὑπὲρ τῆς ποίμνης σου.

Ὡς τοῦ Χριστοῦ ἐν ὑψίστοις νῦν παριστάμενος, στεφανηφόρος Πάτερ, βήματι, ὑπὲρ πάντων, δέησιν προσάγων, μνείαν ποιοῦ, τῶν πιστῶς σου τὴν ἄθλησιν, ἐπιτελούντων, καὶ λύσιν ἁμαρτιῶν, ἡμῖν δίδου καὶ βοήθειαν.

Ἕτερα στιχηρὰ προσόμοια τοῦ Ἁγίου. ἦχος δ΄.
Ὡς γενναῖον ἐν Μάρτυσιν.

Φιλεόρτων συστήματα, συνελθόντα ὑμνήσωμεν, μνήμην τὴν πανίερον τοῦ Τρισμάκαρος, τοῦ Ἱεράρχου καὶ Μάρτυρος, Πατρὸς ἡμῶν Σεραφεὶμ, γενεᾷ τῇ καθ᾽ ἡμᾶς, ὡς ἐνδόξως ἀθλήσαντος, καὶ ἐκχέαντος, ἀφορήτοις βασάνοις δι᾽ ἀγάπην, τοῦ Χριστοῦ αὐτοῦ τὸ αἷμα, παρ᾽ οὗ τὸ στέφος ἀπείληφε.

Τῇ

ΓΗ Ἀγράφων νῦν σκίρτησον, καὶ φαιδρῶς πανηγύρισον ἐν τῇ μνήμῃ σήμερον τοῦ παμμάκαρος, καὶ πανενδόξου ποιμένος σου, τοῦ Μάρτυρος Σεραφείμ, καθελόντος σταθερῶς, Ἰσμαὴλ τὴν αὐθάδειαν, καὶ νικήσαντος, τοῦ Θεοῦ τῇ ἰσχύϊ πᾶσαν πλάνην, τοῦ Βελίαρ καὶ εἰς τέλος, αὐτοῦ τὸ κράτος συντρίψαντος.

ΣΕραφεὶμ παμμακάριστε, εὐσεβῶς ἀνυμνοῦμέν σου, Κάραν τὴν πανένδοξον καὶ θεόσεπτον, ἣν τοῖς σοῖς τέκνοις ἡμῖν σοφὲ, παρέσχες εἰς ἴασιν, τῶν δεινῶν ἡμῶν παθῶν, ἐξαιρέτως δὲ Ἅγιε, πρὸς ἐκδίωξιν, λοιμικῆς τῆς δεινῆς καὶ πολυφθόρου, μυριάκις διασώζων, ἡμᾶς τοῦ ταύτης μιάσματος.

Δόξα, ἦχος β΄.

ΔΕῦτε φιλομάρτυρες πάντες, τὸν Χριστοῦ Ἱεράρχην ὕμνοις τιμήσωμεν· ὅτι καὶ Μάρτυς δι' αἵματος ἀνεγνώσθη, τῶν γὰρ τυράννων τὰς ἀπειλὰς, ἀντ' οὐδενὸς λογισάμενος, καρτερίᾳ τὸν στέφανον τῆς νίκης παρὰ Χριστοῦ ἐκομίσατο. ᾧ καὶ νῦν παριστάμενος, πρεσβεύει ἀπαύστως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν πάνσεπτον μνήμην αὐτοῦ.

Καὶ νῦν. Ὁ αὐτός.

ΙΔοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν, εὐτρεπίζου σπήλαιον. ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου, καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν. ἀκούσατε ὄρη, καὶ βουνοὶ, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρχεται Χριστὸς, ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Εἴσοδος, τὸ, Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. ΜΝήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυ-
ι. 8. ρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρω-





πος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς, ὃς εἶδε φρόνησιν. Κρεῖττον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς: Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη. Νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν, ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ. καὶ Μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν Υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν. ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι, ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου. οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. ΕΓκωμιαζομένου Δικαίου, εὐφρανθήσονται λαοί.
δ΄. 14. ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ. ὅτι καὶ παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις. Καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν

ὦ ἄνδρες σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ' ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής. Καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων φρόνησις, ἐδίδαξε σοφίαν. ἔστι γὰρ ἐν αὐτῇ Πνεῦμα νοερὸν, Ἅγιον, Ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δέ ἐστιν Ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν. φωτὶ συγκρινομένη, εὑρίσκεται προτιμοτέρα. Αὕτη τοὺς θεραπεύοντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς. ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐστιν ἡ εὐσέβεια. Καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ' οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς, καταδυναστεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίου. Ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς, νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος, ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μα-





καρίζει ἔσχατα δικαίων. Ἴδωμεν οὖν, εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτὸν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν. ἔσται γὰρ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο καὶ ἐπλανήθησαν. ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν, καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ· οὐδὲ ἔκριναν, ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων, καὶ θανάτου τὴν ἐξουσίαν, καὶ σώζων ἐν καιρῷ θλίψεως, καὶ ῥυόμενος παντὸς κακοῦ. ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. γ΄. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

Εἶτα ἡ συνήθης ἐκτενή. Εἰς τὴν Λιτήν, ψάλλομεν στιχηρὰ Ἰδιόμελα, ἦχος α'.

Ὑπουργὲ τῶν τοῦ Θεοῦ Μυστηρίων, καὶ οἰκονόμε τῆς χάριτος τοῦ Πνεύματος. σὺ γὰρ ἱερουργῶν πολλάκις, τὴν ἀναίμακτον θυσίαν ἐτέλεις, καὶ σαυτὸν προσήγαγες τῷ Θεῷ ἱερεῖον ἄμωμον. θῦμα, καὶ θύτης γενόμενος Ἱερομάρτυς τοῦ Χριστοῦ Σεραφείμ. καὶ νῦν τὰ ἄνω οἰκεῖς ἀνάκτορα, συμβασιλεύων Χριστῷ, καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός.

Τὴν Κάραν σου τὴν τιμίαν, καὶ θαυματόβρυτον προσκυνοῦντες ἀσπαζόμεθα, ἴασιν, καὶ φωτισμὸν ἀρυόμενοι. διὰ γὰρ ταύτης, τὸν Χριστὸν ὡμολόγησας, καὶ τὴν ἄμωμον πίστιν ἐκήρυξας, Σεραφεὶμ ἱερώτατε. καὶ ταύτην ἀφαιρεθεὶς, τοῦ πονηροῦ καὶ ἀρχεκάκου δράκοντος, τὴν ἰοβόλον κεφαλὴν κατέαξας, καὶ συνέτριψας. καὶ νῦν τοῖς ἄνω Σεραφεὶμ τῷ βασιλεῖ τῶν ὅλων συμπαρίστασαι, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Σὲ τὸν Ὅσιον καὶ ἄκακον, καὶ μιμητὴν τοῦ Δεσπότου περίδοξον, ἐτησίοις ὕμνοις, τιμῶντες δεόμεθα, ῥῦσαι λοιμικῆς νόσου, τοὺς προσιόντας πιστῶς τῇ Κάρᾳ σου. ἐν ταύτῃ γὰρ ὁ τῶν Ἀγράφων λαὸς, καὶ ἡ Ἑλλὰς πᾶσα ἐγκαυχῶνται, ὡς μυριάκις τοῦ κακοῦ λυτρούμενοι, καὶ ταύτην ἐπαξίως τιμῶντες κατασπάζονται· καὶ χαίροις βοῶσιν ὁ ἰατρὸς ἡμῶν ὁ ὀξύτατος, Ἱερομάρτυς Σεραφείμ. ἀλλ' ὥσπερ νῦν ἀρωγὸς ἡμῖν πέλεις θαυμάσιος, οὕτω φάνηθι Παμμάκαρ, καὶ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ἦχος δ'.

Τὴν ποίμνην σου τρισμάκαρ Σεραφεὶμ, φύλαττε ταῖς πρεσβείαις σου, ἐξ ἐχθρῶν ὁρατῶν, καὶ μὴ ὁρωμένων, λυτρούμενος αὐτὴν ποικίλων νοσημάτων,

καὶ



καὶ τῶν κρυπτῶν παγίδων τοῦ παμπονήρου δαίμονος, ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον.

Ἦχος Ὁ αὐτός.

Σεραφεὶμ τρισόλβιε, καὶ ὑπουργὲ τῶν θείων Μυστηρίων, καὶ Μάρτυς τῆς ἀληθοῦς πίστεως γενναιότατε. τὸ γὰρ αἷμά σου δι' αὐτὴν ἐξέχεας, τοὺς ἀσεβεῖς τῇ ἀσεβείᾳ ἐστήριξας, καὶ τὴν πονηρὰν, καὶ ψυχόλεθρον φάλαγγα τῶν δαιμόνων, κατὰ κράτος ἐξέκλινας. διὸ πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. α'.

Δεῦτε πιστοὶ χορείαν συγκροτήσαντες, ἐπὶ τῇ μνήμῃ τοῦ Ἱερομάρτυρος ᾄσμασιν, ἐγκωμίοις αὐτὸν καταστέψωμεν. οὗτος γὰρ τῶν τυράννων τὸ θράσος κατέβαλε, καὶ τὴν πλάνην τῶν ἀθέων κατῄσχυνε, καὶ αἵμασι Μαρτυρικοῖς, τὴν γῆν ἡγίασε. αὐτὸν οὖν καὶ ἡμεῖς ὡς τῆς ἰδίας αὐτοῦ ποίμνης θρέμματα, μεσίτην πρὸς τὸν Δεσπότην προσάξωμεν, καὶ πρέσβυν προβαλλώμεθα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος πλ. δ'.

Ἀρχιερέων τὸ κλέος, καὶ Μαρτύρων ἀγαλλίαμα, σὺ ὑπάρχεις Σεραφεὶμ ἱερώτατε. καὶ γὰρ χρίσμασιν ἱερατικοῖς, τὸ Πνεῦμα τὸ Ἅγιον σὲ ἔχρισε. Πατήρ τε καὶ Υἱὸς, στέμμασι Μαρτυρικοῖς σὲ ἐστεφάνωσαν. καὶ νῦν τῇ Ἁγίᾳ ταύτῃ, καὶ σεπτῇ Τριάδι παριστάμενος, ἱκεσίαν προσάγεις ὑπὲρ τῆς ποίμνης σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὰ οὐράνια ὑμνεῖ σε κεχαριτωμένη Μήτηρ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν. Θεοτόκε πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.



Εἰς

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια, ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε Ἱερέων ἡ πληθὺς, καὶ Ἀρχιερέων οἱ δῆμοι, Πατριαρχῶν ἡ κρηπὶς, ᾄσμασι τιμήσωμεν τὸν Ἱεράρχην Χριστοῦ, τὸν τὴν πλάνην πατήσαντα, καὶ νίκης λαβόντα, στέφανον ἀκήρατον παρὰ Χριστοῦ τοῦ Θεοῦ. ὅπερ παρεστὼς νῦν τῷ θρόνῳ, νέμει δαψιλῶς τὰς ἰάσεις, πᾶσι καὶ πταισμάτων ἀπολύτρωσιν.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Σκεῦος ἀπετέλεσας σαυτὸν, Πνεύματος Ἁγίου τρισμάκαρ, καθάρας σου τὴν ψυχήν. χρίσμα θεῖον ἔλαβες ἀρχιερεὺς γεγονὼς, ποδηγέτης θεόφρονος, λαοῦ καὶ προστάτης, τῶν ἐγκαυχωμένων σου τῇ Κάρᾳ τῇ θαυμαστῇ. ὅθεν Σεραφεὶμ τὸ σὸν αἷμα, ἔχυσας θερμῶς δι' ἀγάπην, τοῦ Χριστοῦ διὸ καὶ νῦν δοξάζει σε.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Ὅτε ἀπεφάνθη κατὰ σοῦ, παρὰ τοῦ τῆς πλάνης προέδρου, ἡ τελευτὴ Σεραφεὶμ, τότε χαίρων ἔλεγες, Πάτερ τοῖς ἔξωθεν, τί βραδύνετε ἄφρονες, προπέμπειν Κυρίῳ, θῦμα καὶ ἀμώμητον, θυσίαν ὡς ἀληθῶς. ἄνω γὰρ ἐπείγομαι φθάσαι, ὅπως σὺν Ἀγγέλοις δοξάσω, Λόγον σὺν Πατρὶ καὶ Πνεῦμα Ἅγιον.

Δόξα, ἦχος πλ. β'.

Δεῦτε τῶν πιστῶν ὁ σύλλογος, τῷ Θεῷ δαβιτικῶς σήμερον ἐκβοήσωμεν, λέγοντες. μέγας εἶ Κύριε, καὶ τῆς μεγαλωσύνης σου πέρας ὅλως οὐκ ἔστιν. Ἰδοὺ γὰρ καὶ ἐν τῇ καθ' ἡμᾶς γενεᾷ, ὁ ἔνδοξος Ἱερομάρτυς Σεραφεὶμ, τὰ ἔργα τοῦ πάθους, καὶ τοῦ σταυροῦ σου τὴν δύναμιν, ἐν ἑαυτῷ ἐδόξασε. καὶ τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου ἐνώπιον Τυράννων ἐκήρυξεν. αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς,



Θεὸς, καὶ ἡμᾶς πάντας τῆς οὐρανίου σου Βασιλείας, ἀξίωσον ὡς φιλάνθρωπος.

Καὶ νῦν. Προεόρτιον ὁ αὐτός.

Οὗτος ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν, ὁ τεχθεὶς ἐκ Παρθένου, καὶ τοῖς ἀνθρώποις συναναστραφεὶς, φάτνῃ πενιχρᾷ, Υἱὸς μονογενὴς, κείμενος ὁρᾶται βροτός. καὶ σπαργάνοις πλέκεται, ὁ τῆς δόξης Κύριος. καὶ μάγοις ἀστὴρ μηνύει, εἰς αὐτοῦ προσκύνησιν. καὶ ἡμεῖς μελῳδοῦμεν· Τριὰς Ἁγία σῶσον τὰς ψυχὰς ἡμῶν.

Τὸ νῦν Ἀπολύεις. Τὸ Τρισάγιον. Καὶ τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου ἦχος δ'.

Ὁσίως τὸν βίον σου διεκπεράσας σοφὲ, ποδήρει κεκόσμησαι Ἱερωσύνης φαιδρᾷ, Σεραφεὶμ ἀξιάγαστε. ὅθεν δικαιοσύνης τὸν χιτῶνα φορέσας, νῦν ἐν ἀγαλλιάσει, τῷ Χριστῷ συναγάλλῃ, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν τῶν εὐφημούντων σε.

Δόξα τὸ αὐτὸ, καὶ νῦν, Θεοτόκε Παρθένε.

Εἶτα ἡ εὐλόγησις τῶν ἄρτων, καὶ ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ Ἁγίου. μετὰ δὲ τὸν Ἑξάψαλμον, τὸ, Θεὸς Κύριος. Καὶ τὸ Τροπάριον τοῦ Ἁγίου δίς. καὶ νῦν, τὸ ἀπ' αἰῶνος ἀπόκρυφον. καὶ ἡ συνήθης στιχολογία τοῦ Ψαλτηρίου. Μετὰ δὲ τὴν πρώτην στιχολογ[ίαν]·

Κάθισμα, ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὁ Μέγας τοῦ Χριστοῦ ἱερεύς τε καὶ θύτης, ὡς θῦμα πρὸς σφαγὴν ἀπαγόμενος πάντως, οὐδ' ὅλως ἐκραύγαζεν, οὔτε ἔλκυσιν ἤχθετο, ἐκμιμούμενος τὸν ὡς ἀμνὸν σιωπῶντα, πρὸς τὸν κείραντα, καὶ ἑκουσίως παθόντα, Χριστὸν τὸν φιλάνθρωπον.

Δόξα τὸ αὐτό. Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Ὁ Κλίνας οὐρανοὺς, καὶ Παρθένῳ οἰκήσας προέρχεται σαρκὶ, Βηθλεὲμ ἐν σπηλαίῳ, τεχθῆναι, καθὼς γέ-

γέγραπται, ὁραθῆναί τε νήπιος, ὁ τὰ νήπια ζωογονῶν ἐν τῇ μήτρᾳ. τούτῳ χαίροντες, νῦν ὑπαντήσωμεν πάντες, καρδίας εὐθύτητι.

Μετὰ τὴν β΄. στιχολογίαν. Κάθισμα ἦχος ὁ αὐτός.

Τὸν τάφον σου Σωτήρ.

ΔΙδάγμασι τερπνοῖς τῆς ἡδίστης σου γλώσσης, ἐγλύκανας σοφὲ τὴν πικρίαν τῆς πλάνης. ὡς ἅλας γὰρ ἐνέβαλες, Ἐλισσαῖον μιμούμενος, τὴν τῶν λόγων σου νόστιμον δύναμιν Μάρτυς, ἀρυσάμενος, ἐκ τῶν χειλέων Κυρίου τὴν χάριν τὴν ἄφθονον.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Προεόρτιον ὅμοιον.

ἈΓάλλου ἡ Σιὼν, Βηθλεὲμ εὐτρεπίζου, ὁ πάντων συνοχεὺς, τὸν ἀστέρα προπέμψας, ἐμήνυσε τὴν ἄμετρον ἑαυτοῦ συγκατάβασιν. ὃν γὰρ τρέμουσι τῶν οὐρανῶν αἱ Δυνάμεις, ὄντως τίκτεται ἐκ τῆς Παρθένου ἀτρέπτως, ὁ μόνος φιλάνθρωπος.

Μετὰ δὲ τὸν Πολυέλεον, Κάθισμα ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

ΚΑταπλήττονται τὴν σὴν, Μάρτυς Χριστοῦ ὑπομονὴν, καὶ θαυμάζουσι Θεοῦ τὰ μεγαλεῖα γηγενεῖς, καὶ τὴν πολλὴν εἰς σὲ Πάτερ οἰκονομίαν, πῶς τὸ ἀσθενὲς τῆς ταπεινώσεως, σῶμα ἀντιχεῖν τοσαύτῃ ἴσχυσε, πληθύϊ τῶν κολάσεων, καὶ ἄσινες ἐφυλάττετο. Χριστὲ Μαρτύρων, σθένος καὶ δόξα, καὶ ὁ Στέφανος δόξα σοι.

Δόξα. ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

ἘΠιστάμενος Μάρτυς ὁ τοῦ Χριστοῦ, ὡς ἐὰν ἡ οἰκία αὐτοῦ λυθῇ, τοῦ σκήνους ἡ ἐπίγειος, ἐκ Θεοῦ ἀπολήψεται, οἰκοδομὴν ἐν πόλῳ, αἰώνιον ἔνδοξον, καθ' ἑκάστην ὥραν, ἐν τούτῳ ἐστέναζεν, ὅπως ἐνδυθείη, τὴν φαιδρὰν κατοικίαν, τὸν χοῦν ἀποθέμενος. διὰ τοῦτο εἰσήκουσε, τῆς φωνῆς αὐτοῦ Κύριος, καὶ μάστιξι τούτου

τὴν

ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚ … ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ



τὴν φθορὰν, ἐκτινάξας δέδωκε πολύφωτον, περιβόλαιον ἔχειν, ζωὴν τὴν ἀθάνατον.

Καὶ νῦν Προεόρτιον, ἦχος ὁ αὐτός.

Τὸ προσταχθὲν μυστικῶς.

ΤΩν γενεθλίων τοῦ Χριστοῦ τὰ προεόρτια, ἐπιτελοῦντες οἱ πιστοὶ πανηγυρίσωμεν, καὶ ἐπαξίως ἅπαντες προϋπαντήσωμεν, ὡς μάγοι δωροφορῆσαι τὰς ἀρετὰς, καὶ ᾆσαι τὸ τῶν Ἀγγέλων ᾆσμα καινὸν, τῷ ἐκ Κόρης θεόπαιδος, ἐν Βηθλεὲμ ἄνευ σπορᾶς, γεννωμένῳ Θεῷ ἡμῶν, ὃν δοξάζει τὰ σύμπαντα.

Οἱ Ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ. Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην. τὸ, Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

ΕἾπεν ὁ Κύριος, ἐγώ εἰμι ἡ θύρα. δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ καὶ ἀπολέσῃ. ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς, τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. ὁ μισθωτὸς δὲ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει, καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα. ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς

αὐλῆς

αὐλῆς ταύτης. κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Εἶτα ὁ Πεντηκοστός.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεος.

Καὶ ψάλλομεν τὸ Ἰδιόμελον. Ἦχος πλ. β'. Δεῦτε τῶν πιστῶν ὁ σύλλογος. Ζήτει εἰς τὸν στίχον. Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ τὰ ἑξῆς. Οἱ Κανόνες, τῆς Θεοτόκου, μετὰ τῶν Εἱρμῶν, εἰς ς'. Καὶ τοῦ Ἁγίου, εἰς η'.

Ὁ κανὼν τῆς Θεοτόκου, ποίημα Θεοδώρου Βασιλέως.

Ἦχος δ'. ᾠδὴ α'. Ἀνοίξω τὸ στόμα μου.

Χαρᾶς ἡμῖν πρόξενος, ὡς δεξαμένη τὸ πλήρωμα, τῆς ὅλης Θεότητος ὤφθης παναμώμε. ὅθεν πάντες σοι, τὸ Χαῖρε τοῦ Ἀγγέλου, συμφώνως κραυγάζομεν θεοχαρίτωτε.

Χαρὰν ἡ κυήσασα, Χαῖρε Μαρία θεόνυμφε, ἀρᾶς ἀλλοτρίωσις, Χαῖρε ἀμόλυντε. Χαῖρε Δέσποινα τοῦ Κόσμου προστασία. Χαῖρε ἡ ἀντίληψις τῶν προστρεχόντων σοι.

Χαῖρε ὄρος ἅγιον. Χαῖρε οὐράνιος γέφυρα. Χαῖρε κλίμαξ ἔμψυχε. Χαῖρε νεφέλη χρυσῆ. Χαῖρε ὄχημα τοῦ πάντων Βασιλέως. Χαῖρε Μητροπάρθενε. Χαῖρε Πανύμνητε.

Τὴν ποίμνην σου Δέσποτα, ἣν ἐδωρήσω φιλάνθρωπε, ὡς δῶρον πολύτιμον, τῇ σῇ Πανάγνῳ Μητρί, νῦν διάσωσον καὶ ῥῦσαι τῶν κινδύνων, καὶ πάσης κακώσεως, ταῖς τῆς Μητρός σου λιταῖς.

Ὁ



Ὁ Κανὼν τοῦ Ἁγίου. Ποίημα Ἀναστασίου, ὡς ὁρᾶται ἐν τοῖς Θεοτοκίοις, καὶ ἐν τῇ Θ'. ᾠδῇ τοῦ αὐτοῦ Κανόνος.

Ἦχος ὁ αὐτός. Ὠδὴ α'. Ἀνοίξω τὸ στόμα.

Τὸ στόμα μου ἄνοιξον, τὸ κεκλεισμένον τοῖς πταίσμασι, λιταῖς σου πανεύφημε, καὶ Πνεῦμα Ἅγιον, νῦν κατάπεμψον, ἐκ τοῦ Πατρὸς τῶν φώτων, τὴν σὴν ὅπως ᾄσμασιν, ὑμνήσω ἄθλησιν.

Ἀνῆλθες Μακάριε, τῆς ἀληθοῦς Πάτερ γνώσεως, εἰς Ὄρος καὶ ἤστραψε τὸ προαιώνιον φῶς, τῇ καρδίᾳ σου, καὶ δύναμιν παρέσχε, τῆς πλάνης θρησκεύματα, ὅθεν κατέπτυσας.

Ἐν Μάρτυσι πάντοτε, περιπολῶν τὰ οὐράνια, καὶ αἴγλης πληρούμενος τῆς θείας ἔνδοξε, τοὺς τιμῶντάς σου τὴν πάνσεπτον ἡμέραν, φωτὸς καταξίωσον τοῦ θείου δέομαι.

Θεοτοκίον.

Ἀνάστησον κείμενον, τῇ ἀμελείᾳ καὶ δώρησαι, σοφίαν, καὶ σύνεσιν τῷ σὲ δοξάζοντι, σὺ γὰρ δύνασαι, ἀνύειν ὅσα θέλεις, Θεοῦ ὡς ὑπάρχουσα Μήτηρ παναμώμε.

Ἕτερος Κανὼν τοῦ Ἁγίου. Ποίημα Ἰωσήφ.

Ἦχος ὁ αὐτός. Ἀνοίξω τὸ στόμα μου.

Τῶν λόγων ἡ ἄβυσσος, σὺ Ἰησοῦ πολυεύσπλαγχνε, ἐμοὶ Λόγε δώρησαι λόγον ἀνάλογον, ὅπως τὴν σεπτήν, καὶ θείαν Κάραν λόγοις, τοῦ Ἱερομάρτυρος Σεραφεὶμ μελψῶμαι.

Ἡ σὴ Κάρα ἔνδοξε, τῷ Μαρτυρίου βαπτίσματι, βεβάπτισται ἔνδοξα καὶ ἀσφαλέστερον, Σεραφεὶμ Ἅγιε, ἀπάντων βαπτισμάτων, πρὸς ῥύπων δευτέρων δέ, ὅλως οὐ χραίνεται.

Τὴν Κάραν σου οἷά περ, ἄσυλον ὄλβον κεχάρισαι, ἡμῖν τοῖς τιμῶσί σε Σεραφεὶμ μέγιστε, καὶ ἴαμα-

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ...

ἰάματα δι᾽ ἧς ἡμῖν παρέχεις, ἀπείρως ἑκάστοτε ψυχῆς καὶ σώματος.

Τ᾽Γράφων τὸ σύστημα, τὴν πανσεβάσμιον Κάραν σου, ἐν νόσοις ἀκέστορα, Σεραφεὶμ κέκτηται, καὶ οὐδείς ἐστιν, ἐκ ταύτης οὐ λαμβάνων, ψυχῆς τε, καὶ σώματος τάχει τὴν ἴασιν.

Θεοτοκίον.

Ι᾽Σχύς μου καὶ ὕμνησις, καὶ φωτισμὸς τῆς καρδίας μου, ὑπάρχει Παναμώμε, Χριστὸς ὁ Κύριος, ὃν ἐκύησας, ἐν δύω ταῖς οὐσίαις, μιᾷ ὑποστάσει δὲ, κατανοούμενον.

Καταβασία. Χριστὸς γεννᾶται δοξάσατε.

Ὠδὴ γ΄. Τόξον δυνατῶν ἠθένησε.

ΧΑῖρε Θεοτόκε Δέσποινα, Χαῖρε ἱερέων ἡ καλλονὴ καὶ εὐπρέπεια, Χαῖρε ὀρθοδόξων ἡ δόξα, βασιλέων καὶ κραταίωμα.

ΧΑῖρε τῶν πιστῶν προπύργιον, καὶ κατὰ βαρβάρων τὸ κραταιὸν ἀμυντήριον, Χαῖρε τοῦ στρατοῦ ἡ ἀνδρεία καὶ τὸ θάρσος πολυΰμνητε.

ΧΑῖρε χελιδὼν ἡ εὔσημος, καὶ καθαρωτάτη περιστερὰ καὶ ἀμόλυντος, Χαῖρε ἀηδὼν τερπνοτάτη, Χαῖρε Κόρη πανσεβάσμιε.

ΧΑῖρε ῥόδον ἀειθαλέστατον, θείου παραδείσου, καὶ κρίνον ὄντως ἡδύπνοον, κατανωδίαζον Παρθένε, τὰς ψυχὰς τῶν μελῳδούντων σε. Ἄλλος.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

ΤΟ᾽ν νοῦν ἐλλαμφθεὶς χάριτι θείᾳ, ὑπέφερες Πάτερ ῥαβδισμοὺς, καὶ τῆς ῥινὸς διαίρεσιν, προσώπου δὲ ἐμπτύσματα, δι᾽ ὧν δεκτὴν προσήγαγες, σαυτὸν θυσίαν τῷ Κτίστῃ σου.

Ι᾽Σχὺν ἐνδυθεὶς ὁ σὸς θεράπων, ὡς πάλαι Δαβὶδ

βὶδ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗ… ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡ…



βὶδ ἐκ σοῦ Σωτὴρ, οὐχ ὅπλοις καταβέβληκε, γίγαντα τὸν ὀλέθριον, ἀλλ᾽ ἐν σφενδόνῃ, λίθοις τε, τοῖς ἐκ χειμάῤῥου τοῦ πάθους σου.

Υ᾽Πέρμαχος γέγονας παμμάκαρ, Τριάδος σεπτῆς ὡς ἀληθῶς. παρ᾽ ἧς καὶ φωτιζόμενος, τὴν πλάνην πᾶσαν ἔπτυσας, αὐτὴν δὲ νῦν ἱκέτευε, δοῦναι ἐξ ὕψους βοήθειαν. Θεοτοκίον.

ΝΑὸς ἱερὸς ἐν ᾧ ὁ λόγος, σκηνώσας σεσάρκωται ἐκ σοῦ, δι᾽ οἶκτον ἀνεκλάλητον. χαῖρε λυχνία πάγχρυσε, πηγὴ τῆς θείας χάριτος, Χαῖρε Παρθένε Παναμώμε. Ὁ αὐτός.

Ε῾Λλάδος τὰ στίφη συνελθόντα, τὴν Κάραν ὑμνήσωμεν σεπτῶς, Σεραφεὶμ τοῦ παμμάκαρος, βρύσεις θαυμάτων βρύουσαν, καὶ πάθη ἀπελαύνουσαν, ποικίλα τε καὶ ἀνίατα.

ΨΥχῆς θερμοτάτῃ κατανύξει, τῇ Κάρᾳ προσέλθωμεν πιστοὶ, Σεραφεὶμ τοῦ Θεόφρονος, καὶ ταύτην ἀσπασώμεθα, ἐν ἀῤῥυπώτοις χείλεσι, δόξαν Θεῷ ἀναπέμποντες.

Η῾ Κάρα σου ὦ Ἱερομάρτυς, ὡς ἥλιος λάμπει ἀληθῶς, ἀκτῖσι τῶν ἰάσεων, θαυματουργοῦσα πάντοτε, τὰς νόσους ἐξελαύνουσα, τῶν εὐλαβῶς προσιόντων σοι.

ΤΟὺς σοὺς ὑμνητὰς Ἱερομάρτυς, ἐν πίστει ἐλθόντας σῇ μονῇ, τὴν Κάραν ἐκζητῆσαί σου, τὴν θείαν καὶ πανσέβαστον, φρούρει τούτους λυτρούμενος, ἀνάγκης πάσης καὶ θλίψεως. Θεοτοκίον.

ΤΕδεων ὁ πόκος προεδήλου, καὶ βάτος ἡ ἄφλεκτος ἀγνὴ, ὁ μὲν ὡς δεξαμένην σε, ὄμβρον τὸν ἐπουράνιον, ἡ δὲ ὡς τῆς Θεότητος τὸ πῦρ ἀφλέκτως ἐνέγκασαν.

Κα.

Καταβασία. Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι. Κάθισμα ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἐφραίμου ἡ κρηπὶς, ἱερέων ἰδοὺ γὰρ, ἐπέφανεν ἡμῖν Σεραφεὶμ τοῦ γενναίου, ἡ εὔδοξος ἄθλησις, τοὺς πιστοὺς καταυγάζουσα. ὅθεν σκίρτησον μετὰ ποιμένων βοῶσα. Δόξα αἴνεσις, σοὶ τῶν Μαρτύρων ὑπάρχεις, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.

Ἀγάλλου ἡ Σιὼν, Βηθλεὲμ εὐτρεπίζου.

Ζήτει ὄπισθεν εἰς τὴν δευτέραν στιχολογίαν.

Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.

Χαῖρε ἡ σωτήριος Κόσμου ἐλπίς. Χαῖρε ἡ κατάκαρπος ἄμπελος. Χαῖρε ἡ πύλη τοῦ Θεοῦ ἡ μυστική. Χαῖρε λυχνία πάγχρυσε. Χαῖρε Θεοτόκε πανύμνητε.

Χαῖρε δωδεκάτειχε πόλις Θεοῦ. Χαῖρε θείας δόξης παλάτιον. Χαῖρε καθέδρα τοῦ τῶν ὅλων Ποιητοῦ. Χαῖρε ἁγία τράπεζα. Χαῖρε Θεοτόκε πανύμνητε.

Χαῖρε ἀκατάφλεκτε βάτε ἁγνὴ, ἥνπερ Μωϋσῆς προεώρακε. Χαῖρε ἡ κλίμαξ, ἣν προεῖδεν Ἰακώβ. Χαῖρε νεφέλη πάμφωτε. Χαῖρε Θεοτόκε πανύμνητε.

Χαῖρε τὸ κατάσκιον ὄρος Θεοῦ, ὅπερ Ἀββακοὺμ ἐθεάσατο. Χαῖρε ἡ θεία κιβωτὸς ἡ λογικὴ, ἣν Νῶε προετύπωσε. Χαῖρε Θεοτόκε πανύμνητε.

Ἄλλος. Ὁ καθήμενος ἐν δόξῃ.

Τῇ φρουρᾷ ἐναπεκλείσθης, καὶ δεσμὰ καθυπέμεινας, καὶ δεσμὰ τῆς πλάνης, πόθῳ θεϊκῷ διεσπάραξας, καὶ τὸν Χριστὸν παρρησίᾳ ὡμολόγησας, προαιώνιον Πατέρα Θεὸν καὶ ἀΐδιον.

Τὸν Δεσπότην σὺν Ἀγγέλοις, καθορᾷς εὐφραινόμενος, ἐν ἀγαλλιάσει, τοῦτον Θεοφόρε ἱκέτευε, ἁμαρ-



τιῶν ἡμῶν πᾶσιν ὅπως ἄφεσιν, καὶ εἰρήνην βραβεύσῃ τοῖς πίστει τιμῶσί σε.

Ὁλικῶς ἀφιερώθης, ἀπὸ βρέφους τῷ Κτίστῃ σου, Σαμουὴλ ὡς ἄλλος. ὅθεν σε στεφάνῳ ἐκόσμησεν, Ἱερωσύνης τῆς θείας ὁ γινώσκων σου, τὸ ἀμώμητον τὸ τῆς ψυχῆς Ἱερώτατε.

Θεοτοκίον.

Ἀνεβόα ὥσπερ ὄμβρος, καταβήσεται Πάναγνε, ἐπὶ πόκον πάλαι, ἔνθεος Προφήτης ἐν μήτρᾳ σου. ὃν ἐν δυσὶ ταῖς οὐσίαις ἀπεκύησας. ᾧ κραυγάζομεν, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ὁ αὐτός.

Ἰησοῦς ὁ στεφοδότης τὴν σὴν κάραν ἡγίασε, Σεραφεὶμ τρισμάκαρ, ταύτην καὶ θαυμάτων ἐνέπλησεν, ἐξ ἧς κρουνοὺς ἰαμάτων ἀρυόμεθα, καὶ κραυγάζομεν, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ἀγαλλόμενος τῷ φέγγει, τοῦ Χριστοῦ Μάρτυς πάνσοφε, ἔστης θαρσαλέως τῶν παρανομούντων ἐνώπιον, καὶ τὸν Χριστὸν παρρησίᾳ ἀνεκήρυξας, ὡς ἀήττητος ἀθλητὴς καὶ περίδοξος.

Θαῦμα μέγα καθορᾶται ἡ πολύολβος κάρα σου, Σεραφεὶμ τρισμάκαρ, θείας εὐωδίας ἀνάπλεως, δι᾽ ἧς πανώλη καὶ νόσοι πολυποίκιλοι, ἀπελαύνονται, καὶ εὐεξίαι χαρίζονται.

Ἔδυς Μάκαρ ἐκ τοῦ Κόσμου, πρὸς Θεὸν καὶ Δεσπότην σου, ἀποστίλβων Πάτερ, τὰς μαρμαρυγὰς τοῦ σοῦ αἵματος, καὶ τῆς ἐφέσεως ἔστης ἀγαλλόμενος, φθάσας εὔδοξε, τῶν ὀρεκτῶν τὸ ἀκρότατον.

Θεοτοκίον.

Νεκρωθέντα με κακίᾳ, τοῦ δουλίου Πανάχραντε, ἡ ζωὴν τεκοῦσα, ζώωσον. πρὸς σὲ γὰρ κατέφυγον.

γον. καὶ ἐμπεσόντα εἰς βάθη παραπτώσεων, ἐπανάγαγε, ὡς συμπαθὴς Παναμώμητε.

Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Χαῖρε ἅρμα πύρινον, τῶν Χερουβὶμ ὑπέρτερον. Χαῖρε πορφυρὶς ἡ νοουμένη, τοῦ Θεοῦ Λόγου, Χαῖρε νυμφὼν εὐπρεπής. Χαῖρε τοῦ παντάνακτος Χριστοῦ, κλίνη πορφυρόστρωτε, πανταλόγητε Δέσποινα.

Χαίροις ἀκατάληπτον, καὶ τοῖς Ἀγγέλοις ὅραμα. Χαίροις ἀνερμήνευτον καὶ ξένον, θαῦμα θαυμάτων. Χαῖρε θυγάτηρ Δαβίδ, Μήτηρ τε τοῦ πάντων Ποιητοῦ, καὶ ἁπάσης Δέσποινα, καὶ Κυρία τῆς κτίσεως.

Χαῖρε ἡ βλαστήσασα, τὸν φυτουργὸν τῆς κτίσεως. Χαῖρε ἡ τεκοῦσα τὸν τροφέα, παντὸς τοῦ κόσμου, καὶ γαλουχήσασα. Χαῖρε ἱερέων ἡ στολή, καὶ πιστῶν διάδημα Βασιλέων καὶ καύχημα.

Χαῖρε τεῖχος ἄῤῥηκτον, καὶ σκέπη τῶν τιμώντων σε. Χαῖρε γηγενῶν ἡ προστασία, καὶ παῤῥησία τῶν πεποιθότων ἐν σοί. Χαῖρε ἀγαλλίαμα τερπνόν, τῶν μακαριζόντων σε, παμμακάριστε Δέσποινα.

Ἄλλος. Ἐξέστη τὰ σύμπαντα.

Ἰσχύϊ ῥωννύμενος, Θεοῦ τοῦ Παντοκράτορος, ἔστρεψας δεινὰς μηχανουργίας, τοῦ πλάνου Πάτερ. διὸ στεφάνῳ σε, τῆς νίκης κατέστεψε Χριστός, ἐν τέλει τῶν ἄθλων σου, Σεραφεὶμ παμμακάριστε.

Ὀδύνης με λύτρωσαι, ἁμαρτιῶν καὶ θλίψεων, θραῦσον τὰ φρυάγματα τῆς Ἄγαρ, εὐχαῖς σου Πάτερ καὶ καθοδήγησον, πρὸς τὰς σωτηρίους μου ὁδούς, ἵνα σε δοξάζωμεν, καὶ Χριστὸν μεγαλύνωμεν.

Τὴν πίστιν ὡς ἄγκυραν, ἐλπίδα ὥσπερ θώρακα, ἔχων τὴν ἀγάπην Θεοφόρε. βεβαίαν βάσιν, δι' ἧς



ἧς ἀνέδραμες, χαίρων πρὸς Χριστόν, ὥσπερ δεκτόν, ὄντως ὁλοκαύτωμα, καὶ θυσία ἀμώμητος.

Θεοτοκίον.

Σοφίαν ἐκύησας, Θεοῦ τὴν ἐνυπόστατον, Ἄχραντε Παρθένε ὑπὲρ λόγον, ἣν ὁ θεράπων ὁ σὸς ἐκήρυξεν, ἄκτιστον καὶ σύνθρονον ὁμοῦ, τῷ Πατρὶ καὶ Πνεύματι, καὶ τὴν πλάνην κατέπτυσεν.

Ὁ αὐτός.

Ἐθαύμασαν Ἄγγελοι, τὴν ξένην καρτερίαν σου, Μάκαρ Σεραφεὶμ Ἱερομάρτυς. σὺ γὰρ τυπτόμενος καὶ τεμνόμενος, ἐξ ἄκρων χειρῶν καὶ τῶν ποδῶν, ἔφερες στεῤῥότατα, τῶν ὀδυνῶν τὴν κάκωσιν.

Λαοὶ ἐπαγάλλονται ἐν τῇ σεπτῇ ἀθλήσει σου, σοῦ γὰρ χαριτόβρυτος ἡ Κάρα, λοιμὸν ἐλαύνει ὀλεθριώτατον, καὶ πᾶσι προστρέχουσι πιστοῖς, ἄφθονον βραβεύεται τῶν παθῶν ἀπολύτρωσιν.

Ἀνθρώπων νοσήματα, ψυχῆς τε καὶ τοῦ σώματος, παύονται πρεσβείαις σου Παμμάκαρ. διόπερ Κύριος ἡμῖν δέδωκε, τὴν σὴν σεβασμίαν Κεφαλήν, μέγα ἰατήριον, καὶ παθῶν ἀμυντήριον.

Ἐξέστησαν ἄπιστοι, Ἀγαρηνοὶ πανένδοξε, σὴν Κάραν ὁρῶντες στρεφομένην, καὶ ἀφορῶσαν κατὰ ἀνατολάς. ὅθεν κατῃσχύνοντ' ἀσεβεῖς, εὐσεβεῖς δὲ ἔχαιρον, τὸν Θεὸν μεγαλύνοντες.

Θεοτοκίον.

Ἁγνείας σε τέμενος, καὶ θεῖον ἐνδιαίτημα, εὑρηκὼς ὑπάρχουσαν Παρθένε, ὁ πάντων Κτίστης ἐν σοὶ κατῴκησε, σάρκα εἰληφὼς ἄνευ σπορᾶς, καὶ πάντας ἀνέπλασε τοὺς φθαρέντας τοῖς πάθεσιν.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Καταβασία. Θεὸς ὢν εἰρήνης, πατήρ.

Ὠδὴ ϛ΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Χαῖρε πανάγιον τέμενος, καὶ ἔνδοξον ὑψίστου ἀνάκτορον. Χαῖρε πολύφωτε, αὐγὴ τὸν Ἥλιον φέρουσα, τὸν πρὸ ἡλίου Κόρη θεοχαρίτωτε.

Χαῖρε ἀνήροτος ἄρουρα. Χαῖρε ἡ ἀγεώργητος ἄμπελος. Χαῖρε παράδεισε, ξύλον ζωῆς ἐκβλαστήσασα. Χαῖρε τοῦ θείου μάννα στάμνε Παμάκαρτε.

Χαῖρε λειμὼν θεοφύτευτε, καὶ κρήνη τοῦ ἐλέους ἀείῤῥυτε. Χαῖρε θεόγραφε, τόμε καὶ πόκε θεόδροσε. Χαῖρε Παρθένε, κῆπε θεοβλαστούργητε.

Χαῖρε λαβὶς θείου ἄνθρακος. Χαῖρε θυμιατήριον πάγχρυσον. Χαῖρε ὀσφράδιον. Χαῖρε θυμίαμα εὔοσμον. Χαῖρε τοῦ Οὐρανίου μύρου ἀλάβαστρον.

Ἄλλος. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ῥητόρων γλῶσσαν πολύφωνοι, κινήθωσαν πρὸς αἶνον τοῦ Μάρτυρος, οὐχ ἵνα πρόσθεσιν, τῇ δόξῃ τούτου προσθήσωσιν, ἀλλὰ καλλωπισθῶσιν αὐτὸν δοξάζοντες.

Τὴν θείαν Πάτερ προσέφερες, ἀναίμακτον θυσίαν τὸ πρότερον. καὶ νῦν τὸ δεύτερον, θυσίαν προσήγαγες, Κυρίῳ ὡς ἐπόθεις διὰ τοῦ αἵματος.

Εὐχὰς ἀεὶ προσανέπεμπες, Κυρίῳ ὡς θυσίας ἀμώμητον, ὡς ὁλοκαύτωμα. καὶ νῦν ὡς θῦμα προσήνεγκας, σαυτὸν καὶ πρὸς τὸ ἄνω θυσιαστήριον.

Θεοτοκίον.

Τὴν θείαν στάμνον ὑμνήσωμεν, τὸν τόμον τὸν καινὸν, ἐν ᾧ γέγραπται, λόγος σαρκούμενος, βίβλῳ ζωῆς γράφων ἅπαντας, τὴν Θεοτόκον Κόρην ὕμνοις τιμήσωμεν.





Ὁ αὐτός.

Τὴν θείαν Κάραν ὑμνήσωμεν, τοῦ θείου Σεραφεὶμ οἱ φιλέορτοι, καὶ ἀσπασώμεθα ταύτην ἐν πίστει ἀγνείᾳ τε, μνήμην τελοῦντες ταύτης, Χριστὸν δοξάζοντες.

Ἑλλὰς φαιδρῶς συνεόρταζε, Ἀγράφοις τὴν πανένδοξον ἄθλησιν, τοῦ θείου Σεραφεὶμ, καὶ τὴν σεπτὴν αὐτοῦ Κεφαλὴν, τῶν ἐγκωμίων στέμμασιν ἀναδήσατε.

Τεθεαμένος ὁ Ὕψιστος, τὸν νοῦν τὸν ἀκραιφνῆ σου πανένδοξε, λαμπάδα οἷάπερ, ἐπὶ λυχνίαν προτέθεικε, τοῖς ἐν τῷ σκότει πᾶσι λάμπουσαν Ἅγιε.

Τὴν σεπτὴν καὶ πολύτιμον, τιμῶμεν Σεραφεὶμ Κάραν ἔνδοξε, καὶ σοῦ δεόμεθα, ἀπὸ λοιμοῦ ἐλευθέρωσον, καὶ δυσχερῶν τοῦ βίου καὶ περιστάσεων.

Θεοτοκίον.

Τὴν θείαν στάμνον καὶ τράπεζαν, τὸν ἄρτον τῆς ζωῆς τὴν βλαστήσασαν, τὴν ἀγεώργητον, χώραν τὸ ὄρος τὸ Ἅγιον, τὴν Θεοτόκον Κόρην, ὕμνοις τιμήσωμεν.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν ἔμβρυον ἀπήμεσεν.

Κοντάκιον, ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Θυσίαν Θεῷ προσάγων τὴν ἀναίμακτον, ὡς ὢν Ἱερεὺς τῆς χάριτος πανένδοξε, ἐν οἰκείοις ὕστερον σεαυτὸν ἱέρωσας αἵμασι. διὰ τοῦτο διπλοῖς ἐκ Θεοῦ Στεφάνοις, ἐστέφθης εἰς τὴν ἄνω ζωήν.

Ὁ Οἶκος.

Ὁ Ὑποφήτης τῶν τοῦ Θεοῦ μεγάλων Μυστηρίων, τὸ σκεῦος τὸ τῆς ἐκλογῆς, Παῦλος ὁ Θεηγόρος, τὸν μέγαν διαγράφων Ἀρχιερέα Ἰησοῦν, τὸν κατὰ τὴν τα-



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡ...

τάξιν Μελχισεδὲκ τὰς θυσίας ἐκτελοῦντα. τοιοῦτός φησιν ἔπρεπεν ἡμῖν Ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος. Ταύτας οὖν τὰς Ἱερατικὰς ἀρετὰς, ἃς ὁ Ἰησοῦς φύσει ἐν ἑαυτῷ εἶχε, τοῖς Μαθηταῖς αὐτοῦ μετέδωκεν. ἐκ τοῦ πληρώματος γὰρ αὐτοῦ, ἡμεῖς πάντες ἐλάβομεν. διὸ καὶ τὸν Ἱερομάρτυρα αὐτοῦ, Σεραφεὶμ τὸν ἀοίδιμον, τὸν γνησίως αὐτῷ ἀκολουθήσαντα, διπλοῖς Στεφάνοις κατέστεψεν εἰς τὴν ἄνω ζωήν.

Τῷ αὐτῷ Μηνὶ, δ΄. Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Σεραφεὶμ, Ἀρχιεπισκόπου Φαναρίου καὶ Νεοχωρίου τοῦ Θαυματουργοῦ.

### Στίχοι.

Ἀπῆρεν ἐκ γῆς, καὶ Σεραφεὶμ τοῖς ἄνω,
Θρόνος Σεραφεὶμ, Κυρίου ὅπως γένῃ.
Φαίδιμον Ἀρχιερῆα, λάβε Τετρὰς ἀμφὶ τετάρτη.

### Ἕτεροι.

Ὁ γῆς Σεραφεὶμ Θετταλῶν φὺς ὡς κλάδος,
Θεῷ Λόγῳ πρόσεισι ῥείθροις αἱμάτων.

Πολλοὶ μὲν καὶ ἄλλοι ἐν ἔργοις ἀγαθοῖς κατὰ τὸ εὐάρεστον τῷ Θεῷ πάντα τὸν βίον διήνυσαν, πορευόμενοι ἐν ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι, ἤ φασι, τὰ ἱερὰ λόγια. ἐξ ὧν ἐστὶ καὶ ὁ νῦν παρ᾽ ἡμῶν ἑορταζόμενος Ἅγιος, ὁ μέγας φημὶ Σεραφεὶμ, ὁ ἐν τῇ ἐσχάτῃ μὲν καθ᾽ ἡμῶν γενεᾷ περίδοξος Μάρτυς ἀναδειχθεὶς, μηδὲν δὲ τῶν ἀρχαίων ἐκείνων καὶ πρώτων ἀπολειπόμενος Μαρτύρων. ὁ γὰρ Δεσπότης ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας, οὐ μόνον τοὺς πάλαι ἐστεφάνωσε Μαρ-

Μαρ-



Μάρτυρας, ἀλλὰ δὴ καὶ ἐν ταῖς ἐσχάταις ἡμέραις, τὴν τοῦ Μαρτυρίου τοῖς θέλουσιν ὑπανοίγει εἴσοδον· καὶ τῇ αὐτῇ δόξῃ καὶ τιμῇ πάντας ὁμοίως καλεῖ. Δεῖ οὖν ἡμᾶς καὶ τοῦ νέου Ἱερομάρτυρος τούτου Σεραφεὶμ, τήν τε πατρίδα ἐπιγνῶναι, καὶ ἃ ὑπὲρ Χριστοῦ ὑπέστη Μαρτύρια, καὶ τὸν τρόπον τῆς αὐτοῦ Μαρτυρίας. ἵνα πρὸς τὸν ἴσον ζῆλον οἱ ἀκούοντες ἐν τοῖς ὁμοίοις ἐγείρωνται, καὶ τὸν πιστὸν τοῦ Κυρίου δοξάζωσι θεράποντα, καὶ ὁ Κύριος ἡμῶν, ἐν τοῖς Ἁγίοις αὐτοῦ δοξάζηται, δοξάζων τοὺς αὐτὸν ἀντιδοξάζοντας. Ἐν τοῖς μέρεσιν οὖν τοῖς καθ᾽ ἡμᾶς δευτέρας Θετταλίας, πρὸς τὴν ὑπώρειαν τῶν ἐκεῖσε ὀρῶν, πολίχνιόν ἐστι Μπεζηλα λεγόμενον. ἐν ᾧ φὺς καὶ ἀνατραφεὶς ὁ ἔνδοξος οὗτος Ἱερομάρτυς Σεραφεὶμ, ἐκ Πατέρων πιστῶν καὶ ἐναρέτων, ὧν ὁ μὲν Πατὴρ αὐτοῦ, Σωφρόνιος ἦν τοὔνομα, ἡ δὲ Μήτηρ Μαρία. παρ᾽ ὧν καὶ εἰς παίδευσιν τῶν Ἱερῶν γραμμάτων ἐκδίδοται, ὧν εἰς γεῦσιν ἐλθὼν, ἐν ἐπιθυμίᾳ γίνεται, καὶ εἰς μοναδικὴν φθάσαι πολιτείαν. μέντοιγε καὶ τὴν δ᾽ ἀγῆ τῆς Θεοτόκου καταλαβὼν Μονὴν (Κρύα Πηγὴ παρὰ τοῖς ἐκεῖσε ὀνομαζομένην) καὶ τὰς τρίχας καρεὶς, πᾶσαν ἰδέαν ἀρετῆς καὶ ἀσκήσεως ὁσίως μετήρχετο. Ὅθεν διὰ τὸν ἀξιέπαινον αὐτοῦ Βίον, ψήφῳ Κανονικῇ, τοὺς οἴακας τῆς Ἀρχιεπισκοπῆς Φαναρίου καὶ Νεοχωρίου ἐγχειρίζεται. (πρότερον τοὺς Ἐκκλησιαστικοὺς βαθμοὺς ἐννόμως διελθὼν) καὶ καλῶς τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον ἐπιμελούμενος, περίπου σχεδὸν τῶν ἐννέα ἐτῶν, διδάσκων ἔργοις καὶ λόγοις, τὸν Μαρτυρικὸν Στέφανον ἐκομίσατο, τρόπῳ τοιῷδε. Ὁ τῆς κατὰ Λάρισαν ἁγίας Ἐκκλησίας Πρόεδρος, Διονύσιος τοὔνομα, πεισθεὶς (οὐκ οἶδ᾽ ὅπως ὡς λέγεται) τοῖς Ἰταλῶν λόγοις, κατὰ τῶν Ἰσμαηλιτῶν ὁπλίζεται



σὺν

σὺν ἄλλοις ὁμόφροσιν αὐτῷ οὐκ ὀλίγοις. καὶ δὴ κατὰ τοῖς μέρεσι τῶν Ἰωαννίνων χωρεῖ. κἀκεῖ τοὺς μὲν αὐτῶν, εἰς φυγὴν τρέψας, τοὺς δέ γε τοῦ ζῆν ἀποστερήσας, μετέπειτα συλλαμβάνεται καὶ οὗτος, καὶ τῆς παρούσης ἀποστερεῖται ζωῆς. περὶ οὗ Θεοῦ διδόντος, ἐν ἑτέρῳ λέξομεν λόγῳ πλατύτερον. Ὁ δὲ Ἱερὸς οὗτος Ἀνὴρ, ἀποδιδράσκων ἀεὶ τὰς τοῦ Διονυσίου κακορραφίας, ἐπὶ τὴν λαχοῦσαν αὐτῷ ἐπισκοπὴν περιήρχετο. διὰ δέ τινος χρείας κατεπειγούσης αὐτὸν, εἰς Φανάριον κάτεισιν. ἦν γὰρ καιρὸς τοῖς ἐκεῖσε δωροφορήσων Κριταῖς, κατὰ τὸ ἔθος. τοῦτον ὡς εἶδον, ἤρξαντο λέγειν πρὸς ἀλλήλους. οὐχ οὗτός ἐστιν, ὁ μετὰ τοῦ καταράτου Διονυσίου τὰς συνθήκας ποιῶν καθ' ἡμῶν; πῶς αὖθις καὶ ἔτι φαίνεται; ἐμβλέψας δὲ αὐτοῖς, περὶ ἐμοῦ τὰ τοιαῦτα, ἢ περὶ ἄλλου τινὸς ἔφη λέγετε; οἱ δὲ, περὶ σοῦ ἀντέρησαν καὶ οὐ περὶ ἄλλου φαμέν. ἢ οὐκ ἀληθῆ ἃ φαμέν; καὶ τὰ ἐγκαλούμενα πρῶτον εἰς ἔλεγχον προὔφερον. αὐτοὶ καὶ μάρτυρες καὶ ἐνάγοντες καὶ κριταί. καὶ μετὰ τοὺς ἐλέγχους, μεταβληθῆναι δῆθεν εἰς τὸ ἥμερον ὑπεκρίνοντο, καὶ μετὰ πραότητος ὅτι πολλῆς μετατεθῆναι τοῦτον ἠνάγκαζον, καὶ τὴν εἰς Χριστὸν ἀρνήσασθαι πίστιν ἀνέπειθον. ὡς δὲ ἐλέγχοντα τοῦτον εἶδον τὴν τούτων ἀπόνοιαν, ἤδη ἐχώρουν πρὸς ἀπειλάς τε καὶ ὕβρεις. καὶ αὐτίκα ἐπὶ τὸν κριτὴν ὡς ἄγριοι κύνες ἕλκουσιν αὐτὸν, λέγοντες. καὶ οὗτος εἷς ὢν τυγχάνει τῆς τοῦ Διονυσίου συμμορίας. καὶ ὅτι ἀντίπαλος διάπυρος προφανεὶς, τὴν ἐκείνου καθ' ἡμῶν ὑπούλως θρασύτητα κατηνάγκαζεν. οὕτως οὖν οἱ κατάρατοι λέγοντες, εἰς ὀργὴν κατὰ τοῦ Ἁγίου τὸν ἡγεμόνα (ὃν Χαμουζάμπεϊ κατὰ τὴν σφῶν αὐτῶν λέγουσι γλῶσσαν) προὔτρεψαν. καὶ πρῶτον κελεύει τὸν Ἅγιον τύπτεσθαι.

εἶτα

ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗ… ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ…



καὶ τῆς χάριτος. Χαῖρε τὸ καταφύγιον καὶ φυλακτήριον, τῶν πίστει καὶ πόθῳ ὑμνούντων, καὶ δοξολογούντων σε Κόρη εἰς αἰῶνας.

Χαῖρε θησαυρὲ θείων χαρίτων, καὶ πάντων τῶν ἀγαθῶν αἰτία Πανάγιε. Χαῖρε χωνευτήριον τῆς φθαρείσης φύσεως. Χαῖρε παστὰς ἑνώσεως τῶν δύω φύσεων. ἐν σοὶ γὰρ τοῦ Θεοῦ αἱ πορεῖαι, ἀληθεῖς ὁρῶνται εἰς πάντας τοὺς αἰῶνας.

Χαῖρε ἡ ἐπίσκεψις νοσούντων, καὶ πάντων τῶν θλιβομένων ἡ παράκλησις. αἰχμαλώτων λύτρωσις, καὶ νεκρῶν ἀνάστασις. Χαῖρε λιμὴν ἀχείμαστε καὶ ἀκλυδώνιστε, πλεόντων τὰ τοῦ βίου πελάγη, καὶ ὑπερυψούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἄλλος. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ψαλμοῖς μεγαλύνομεν καὶ Ὕμνοις, τὴν σὴν Παντοκράτορ ἀγαθότητα, πάντες ὅτι φύλακα, καὶ στερρὸν ὑπέρμαχον, καταφυγὴν καὶ ῥύστην τε καὶ ἀντιλήπτορα, Σεραφεὶμ γὰρ, δέδωκας τῇ ποίμνῃ σου ἐκ παντοίων δεινῶν αὐτὴν σώζοντα.

Ὡς ἄκμων ὡράθης ἐν τῷ μέσῳ, ἑστὼς παρανόμων ὑβριζόμενος, λίθῳ βαρυνόμενος, ἔφερες στερρότατα, διὰ Χριστὸν Μακάριε ῥινοτεμνόμενος, καὶ Χριστὸν ὑμνεῖτε ἐβόας, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀλυσίου φωτὸς φωτοχυσίᾳ, Ἡλίου τοῦ νοητοῦ θείαις λαμπρότησι, Μάκαρ αὐγαζόμενος, πλάνην νοῦ κατέπτυσας, τῆς ἀθείας ἅπασαν. ὅθεν καὶ ἔψαλλες, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Σὺ μόνη τὴν φύσιν τῶν ἀνθρώπων, Ἁγνὴ Μητροπάρθενε ἐθέωσας, πᾶσαν τῇ κυήσει σου, πύλη

ἀδιό-

ἀδιόδᾶτε, τοῦ Βασιλέως ἔμψυχον, Χριστοῦ παλάτιον. διό σε ἱκετεύω ναόν με, δεῖξον τῆς Τριάδος εὐχαῖς σου εἰς αἰῶνας.

Ὁ αὐτός.

Μεγίστη ἀντίληψις Ἀγράφων, ἁπάσης τε γῆς Ἑλλάδος παναοίδιμε, ὤφθη σου ἡ ἔνδοξος, Κάρα καὶ πανίερος, ἐκλυτρουμένη πάντοτε, ἐξ ἀναγκῶν χαλεπῶν, ἰάμασι τοὺς ταύτην ὑμνοῦντας, καὶ ὑπερυψοῦντας Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἔστης ἐν τῷ βήματι τοῦ πλάνου, στερρότατος οἷάπερ ἀδάμας τις, στῦλος τε ἀκλόνητος, Σεραφεὶμ λαμπρότατε, καὶ τοῦ Χριστοῦ τὸ ὄνομα λαμπρῶς ἐκήρυξας, ὑβρίζων τὰς ὁρμὰς καὶ λακτίζων, λόγοις μελιρρύτοις, θωπείας ψυχοφθόρους.

Νάμασι Χριστοῦ οἰκείαν ποίμνην, δογμάτων Ἱερομάρτυς πᾶσαν ἤρδευσας, καὶ σπόρον τὸν ἔνθεον, ταύτῃ ἐγεώργησας, καὶ ἀρετῶν τοῖς χρώμασι, ταύτην ἐλάμπρυνας. διὸ καρποφοροῦσα νῦν κράζει· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἣν Κάραν πλουτοῦντες Χριστοῦ Μάρτυς, οὐδόλως ποτὲ πτοούμεθα νοσήματα, ταύτῃ γὰρ ἐλπίζοντες, σπουδῇ καταφεύγομεν, καὶ θεραπείαν ἄφθονον ταχὺ εὑρίσκομεν. διὸ καὶ εὐχαρίστως βοῶμεν· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὅλος ἐν τοῖς κάτω ἦν ὁ Λόγος, τῶν ἄνω οὐδ᾽ ὅλως χωριζόμενος, Μήτηρ ἀπειρόγαμε, μόνη πανευλόγητε, εἰ καὶ βροτοῖς ὡμίλησε βροτὸς γενόμενος, τοῦ σῶσαι τοὺς πιστῶς μελῳδοῦντας, σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Καταβασία. Θαύματος ὑπερφυοῦς.

Ὠδὴ



Ὠδὴ θ΄. Ἅπας γηγενής.

Χαῖρε ἡ χαρά, καὶ τὸ ἀγαλλίαμα τῶν ἐλπιζόντων εἰς σέ, Χαῖρε ἡ εὐγένεια ἡμῶν τοῦ γένους καὶ ἐγκαλλώπισμα, Χαῖρε στερρὸν ὀχύρωμα καὶ θεῖον στήριγμα, τῶν βοώντων, χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Χαῖρε ἡ παστάς, ἐν ᾗ ἐνυμφεύσατο, Θεὸς τὴν φύσιν ἡμῶν, Χαῖρε ἡ κατάκαρπος ἐλαία πάντας καθιλαρύνουσα, Χαῖρε λουτὴρ ἀκένωτε θείας καθάρσεως, τῶν βοώντων, χαίροις παμμακάριστε Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Χαῖρε νοητή, κογχύλη ἡ βάψασα τὴν ἀλουργίδα Θεοῦ, Χαῖρε τὸ πολύτιμον, καὶ θεῖον μύρον εὐωδιάζον πιστούς, Χαῖρε τεῖχος ἀπόρθητον, καὶ πύργος ἄσειστος, τῶν βοώντων, χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Χαῖρε ἡ χρυσῆ, λυχνία καὶ τράπεζα πιστοὺς ἐκτρέφουσα, Χαῖρε ἀγεώργητε, γῆ ζωηφόρον στάχυν βλαστήσασα, Χαῖρε βροτῶν διάσωσμα, καὶ μέγα καύχημα, τῶν βοώντων, χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Ἄλλος.

Ἅπας γηγενής.

Χαίρει οὐρανός, φαιδρός σε δεξάμενος ἐκ γῆς ἱπτάμενον, καὶ Ἀρχιερέων νῦν, τὸ ἄνω ἔχει θυσιαστήριον, σὺν ἐκλεκτοῖς ἀοίδιμε, καὶ σὺν Ἀγγέλοις ἀεί, κράζεις δόξα, σοὶ Θεὲ τρισάγιε, τοὺς σοὺς δούλους ἐκ θλίψεως λύτρωσαι.

Ἴδε τὴν ἡμῶν, ὀδύνην καὶ κάκωσιν ὡς πάλαι Δέσποτα, ἐν Αἰγύπτῳ ἔβλεψας, κεκακωμένους Ἰσραηλίτας σου. οὐχ ἧττον γὰρ δεδούλωται, καὶ κατατρύχεται,

ΕΙΟΣ ΒΙΒΛΙΟ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣ

ται, τὴν πίστιν σου, τὸ ξίφος φιλάνθρωπε, Ἰσμαὴλ ἀπηνοῦς τῇ θρασύτητι.

Ὅλον τῆς σαρκὸς, τὸ φρόνημα νέκρωσον, τὸν νοῦν καταύγασον, καὶ εἰρήνην βράβευσον, καὶ ῥῶσιν Πάτερ τοῖς ἀνυμνοῦσί σου, τὴν ἱερὰν Πανήγυριν, καὶ σοὶ βοῶσι πιστῶς, σῶσον Πάτερ, πίστει τοὺς δοξάζοντας, τὴν σεπτὴν καὶ ἁγίαν σου ἄθλησιν.

Θεοτοκίον.

Ὕμνοις τὴν ἁγνὴν, Παρθένον δοξάσωμεν, πόλιν τὴν ἔμψυχον, τοῦ παμβασιλέως γὰρ, ὑπάρχει ὄντως ὄρος τὸ Ἅγιον, πηγὴ τῆς θείας χάριτος καὶ ζωηφόρος λαβὶς, θεία πύλη, καὶ θυμιατήριον, τὸ χρυσοῦν καὶ πιστῶν ἡ βοήθεια.

Ὁ αὐτός. Ἅπας γηγενής.

Ἀγράφων λαὸς, ἁπάσης Ἑλλάδος τε, δεῦτε προσέλθωμεν, Κάρα τοῦ παμμάκαρος, καὶ θαυμαστοῦ Πατρὸς ἡμῶν Σεραφείμ. καὶ γὰρ διώκει δαίμονας νοσοῦντας ῥύεται, καὶ πατάσσει, λοιμὸν τὸν ὀλέθριον, ἐν ᾧ τόπῳ καλεῖται ἐκ πίστεως.

Πότε Σεραφεὶμ, Χριστοῦ Μάρτυς ἔνδοξε, ἡμῖν οὐκ ἤρκεσας, πότε οὐ διέσωσας, πότε κινδύνου παντὸς οὐχ ἥρπασας, πότε ἡμῶν ἐπελάθες, σῶν τέκνων Ἅγιε, ἀλλ' ἡμεῖς σοι, ἀχρεῖοι ἐμμένομεν, ἁμαρτίαις ἀεὶ συμφθειρόμενοι.

Μάκαρ Σεραφεὶμ, Μαρτύρων ἀγλάϊσμα, Ἀρχιερέων τε, ταῖς πρεσβείαις φύλαττε, μονήν σου Πάτερ ἐν ᾗ κατῴκησας, καὶ τοὺς ἐν πίστει Κάραν σου καλοῦντας ἔνδοξε, δι' ἀνάγκην, εἴτε καὶ εὐλάβειαν, ἐκ κινδύνων παντοίων ἐκλύτρωσαι.

Δέχου εὐμενῶς, ὡς πρᾶος πανένδοξε, καὶ χριστομίμητος, ὕμνους τούσδε Ἅγιε, οὓς ἐκ χειλέων

ἀνά-



ἀνάγνων φέρουσι, καὶ ταῖς πρεσβείαις Μάκαρ με τάχος ἐξάρπασον, τῶν παγίδων, τοῦ δεινοῦ ἀλάστορος, ὡς ταχὺς ἀρωγὸς καὶ ὑπέρμαχος. Δόξα.

Ὕμνους παρ' ἡμῶν, προσδέχου θεόνυμφε θεοχαρίτωτε Μῆτερ τοῦ Θεοῦ ἡμῶν, καὶ τὴν σὴν χάριν ἀντιδεδώρησαι, τοῖς εὐλαβῶς σε μέλπουσιν ἡμῖν τοῖς δούλοις σου. τὸν Χριστὸν δὲ ὃν ἀῤῥήτως τέτοκας, ἡμῖν ἵλεων Κόρη ἀπέργασαι.

Καταβασία. Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν μέγιστον ἐν Μάρτυσι, καὶ κήρυκα τῆς πίστεως, τὸν στῦλον τῆς ἀσεβείας, τὸν λάμψαντα ἐν ἀθλήσει, ὥσπερ ἐν ἄστροις Ἥλιος, ὑμνήσωμεν ἐπαξίως. οὗτος καὶ γὰρ ἐδόξασε, τὸν Κύριον ἐπὶ ξύλου, προσενεχθεὶς ὡς θυσία.

Προεόρτιον Ὅμοιον.

Πιστοὶ τὰ προεόρτια, τῶν γενεθλίων ᾄσματα, νῦν προηχήσωμεν πίστει, ἔρχεται ἥκει γὰρ Χριστὸς, ἐν Βηθλεὲμ τεχθήσεσθαι, ὡς βροτὸς ἐκ Παρθένου, καὶ ὁραθῆναι νήπιος, σπαργάνοις ἐνειλημμένος, ὁ πρὸ αἰώνων ὑπάρχων.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχ.

Προσόμοια, Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Ἔνδυμα ἐφόρεσας, δικαιοσύνης ὡς γνήσιος, ἱερεὺς καὶ γὰρ ἅπαντα, σαυτὸν περιέφραξας, ἀρεταῖς παντοίαις, ψυχήν τε καὶ σῶμα, ἀφιερώσας τῷ Θεῷ. ἀγαλλιάσει δὲ ὥσπερ Ὅσιον, φαιδρῶς ἀγαλλιᾶσθαί σε, ὁ Ἀθλοθέτης πεποίηκεν, Ἱεράρχα Μακάριε, τῶν Ἀγγέλων ἐφάμιλλε.

Βάπτισμα βεβάπτισαι, τοῦ Μαρτυρίου πανεύφημε, καὶ ποτήριον ἔπιες, ὃ σοὶ ἐκεράσατο, Ἰησοῦς

ὁ

ὁ πρῶτος ἐν τοῖς ἀθλοφόροις, καὶ ἀθλοθέτης ὑψηλός. διὸ στεφάνῳ δικαίῳ στέψει σε, ἐν δόξῃ ὅταν ἔρχηται, κρῖναι τὸν Κόσμον ὡς δίκαιος, Σεραφεὶμ σὺ γὰρ Ὅσιε, τόδε γέρας ἡτοίμασαι.

Θεῷ παραστάτην σε, ἱερωσύνη ἀνέδειξε, μεσιτεύοντα πλάσματι, καὶ Πλάστῃ Μακάριε, φέρων ἱκεσίας, τὰς ἐκ τῶν ἀνθρώπων, πρὸς τὸν Θεὸν καὶ τὰ αὐτοῦ, ἕλκων ἐλέη τοῖς ἁμαρτήσασι. τὸ δὲ λαμπρὸν Μαρτύριον, ὃ ἐπεισῆλθες στερρότατα, θῦμά σε ἀπειργάσατο, καὶ δεκτὸν ὁλοκάρπωμα.

Κάραν σου τὴν πάνσεπτον, Μάρτυς ὑμνοῦμεν πανένδοξε, ἣ ἰάσεις παρέχεται, ἀφθόνως ἑκάστοτε, πᾶσι προσιοῦσι, καὶ λοιμικὴν νόσον, παύει δυνάμει τοῦ Χριστοῦ, καὶ πάσης θλίψεως ἀπαλλάττεται, ψυχὰς ἡμῶν καὶ σώματα. ὅθεν σὲ πίστει γεραίρομεν, Σεραφεὶμ ἀξιάγαστε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. β΄.

Τὸ μυριοπλάσιον ἅρμα τοῦ Χριστοῦ, τὸ χιλιάσιν εὐθηνούντων εὐθηνούμενον, ὑμεῖς ὑπάρχετε Μάρτυρες τροπαιοφόροι. μεθ' ὧν ὁ ἰσχυρὸς ἡμῶν Θεὸς, Ἰησοῦς ὁ Κύριος, πανταχοῦ διερχόμενος νικᾷ τὸν Κόσμον, καὶ τρόπαιον ἵστησι κατὰ τοῦ διαβόλου, θριαμβεύων αὐτοῦ τὰς μηχανουργίας. οἷς καὶ σὺ Ἱερομάρτυς Σεραφεὶμ συνταττόμενος, καὶ παῤῥησίαν ἔχων πρὸς Χριστὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν προεόρτιον. Ὁ αὐτός.

Σπήλαιον εὐτρεπίζου, ἡ ἀμνὰς γὰρ ἥκει ἔμβρυον φέρουσα Χριστόν· φάτνη δὲ ὑποδέχου τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως ἡμᾶς τοὺς γηγενεῖς. ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ

φρικ-



φρικτόν. καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν τῷ Βασιλεῖ προσάξατε. ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός. ὅν περ καὶ κύψασα δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς. πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης ὁ Λυτρωτής μου καὶ Θεός;

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Δίδοται καὶ Ἅγιον Ἔλαιον τοῖς Ἀδελφοῖς, ἐκ τῆς κανδήλας τοῦ Ἁγίου.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου, ᾠδὴ γ΄. καὶ ς΄. Ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν.

Πρὸς Τιμόθεον Β΄. Ἐπιστολῆς.

Κεφ. α΄. 8. Τέκνον Τιμόθεε, μὴ ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ Εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ, τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ. οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν, καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ Εὐαγγελίου. Εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ, καὶ Ἀπόστολος, καὶ διδάσκαλος ἐθνῶν. Δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ' οὐκ ἐπαισχύνομαι. οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι, ὅτι δυνατός ἐστι τὴν παρακαταθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν. Ὑποτύπωσιν ἔχε ὑγιαι-

D νόν-

νόντων λόγων, ὧν παρ' ἐμοῦ ἤκουσας ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ. Τὴν καλὴν παρακαταθήκην φύλαξον διὰ Πνεύματος Ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελλος, καὶ Ἑρμογένης. Δῴη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη. Ἀλλὰ γενόμενος ἐν Ῥώμῃ, σπουδαιότερον ἐζήτησέ με, καὶ εὗρε· Δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

Ἀλληλούϊα, ἦχος β'.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.
Στ. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ιγ'. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὁμοία ἐστὶν ἡ Βασιλεία τῶν Οὐρανῶν, θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει, καὶ πάντα ὅσα ἔχει, πωλεῖ, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον. Πάλιν ὁμοία ἐστὶν ἡ Βασιλεία τῶν Οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας. ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακε πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν. Πάλιν ὁμοία ἐστὶν ἡ Βασιλεία τῶν Οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ· ἥν, ὅτε ἐπληρώθη, ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλόν, καὶ καθίσαντες, συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον. Οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. ἐξελεύσονται οἱ Ἄγγελοι, καὶ ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων· καὶ βαλοῦσιν αὐτοὺς

εἰς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ



εἰς τὴν κάμινον τοῦ πυρός. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· συνήκατε ταῦτα πάντα; Λέγουσιν αὐτῷ· ναὶ Κύριε. Ὁ δὲ εἶπεν αὐτοῖς· διὰ τοῦτο πᾶς Γραμματεὺς, μαθητευθεὶς εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ, καινὰ καὶ παλαιά. Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν· καὶ ἐλθὼν εἰς τὴν Πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ Συναγωγῇ αὐτῶν.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Στίχοι κοινοὶ εἰς τὸν Ἅγιον καὶ θαυματουργὸν ἐν Ἀρχιερεῦσι καὶ Μάρτυσι Σεραφεὶμ τὸν ἐξ Ἀγράφων, δι' ὧν δέονται οἱ αὐτῶν τῶν Ἀγράφων Χριστιανοί.

Σεραφεὶμ τρισμέγιστε Ἱερομάρτυς.
Κλέος ἀθλητῶν καὶ δόξα τῶν ποιμένων.
Φύλαξ θαυμαστὲ ἡμῶν τῶν ἐν Ἀγράφοις.
Λιτάζομέν σε θερμῶς οἱ σοὶ οἰκέται.
Ἄνδρες γυναῖκες, νέοι γέροντες ἅμα.
Καὶ βρέφη αὐτὰ ἐξ ἀγκαλῶν μητρῴων.
Φύλαττε ἡμᾶς ἐκ τῆς λοιμικῆς νόσου,
Καὶ πάσης ἄλλης θλίψεως καὶ ἀνάγκης.
Τὴν σὴν γὰρ Κάραν κεκτήμεθα ὡς ὄλβον,
Ὅπως πλουτῶμεν ἀφθόνως τὰς ἰάσεις.
Ὡς οὖν πολλάκις ἡμᾶς ἐρρύσω Πάτερ,
Τῆς δεινῆς ταύτης καὶ ὀλεθρίου νόσου.
Οὕτω καὶ ἑξῆς μὴ ἐπιλάθου μάκαρ,
Ἡμῶν τιμώντων τὴν πάνσεπτόν σου Κάραν,

 Καὶ

Καὶ προσκυνούντων ταύτην πίστει καὶ πόθῳ.
Φεῖσαι ὡς πατὴρ ἡμῶν ἐν σοὶ θαῤῥούντων
Καὶ τῷ Θεῷ πρεσβεύων μὴ διαλίπῃς
Ὑπὲρ ἡμῶν πάντοτε τῶν ἐν Ἀγράφοις,
Ἐν οἷς καὶ ἡ σὴ πατρὶς ἡ κάτω πέλει.

## Στίχοι ἄλλοι κοινοὶ εἰς τὸν Ἅγιον, ὡς ἐκ προσώπου τῶν Πατέρων τῆς Μονῆς.

Μάκαρ Σεραφεὶμ Ἱεράρχα καὶ Μάρτυς.
Ἔφορε ἡμῶν τῶν ταπεινῶν σου δούλων.
Δέξαι εὐμενῶς τὰς φωνὰς τῶν σῶν τέκνων.
Σοῦ δεομένων ἐν θερμῇ εὐλαβείᾳ.
Καὶ ῥύου τούτους ἐκ τῆς λοιμικῆς νόσου,
Καὶ ἄλλων πολλῶν παντοίων νοσημάτων.
Προστρέχουσι γὰρ ὁσημέραι τῇ Κάρᾳ
Σοῦ τῇ σεπτῇ καὶ χαριτοβρύτῳ Μάκαρ.
Ὡς διψῶσα ἔλαφος ταύτην ζητοῦντες.
Καὶ τὴν μονήν σου τὴν ἱερὰν καὶ θείαν
Ἣν ἔχες ποτὲ σώματος κατοικίαν,
Καὶ ὡς ἄσαρκος ἐν ταύτῃ ἔζης Πάτερ,
Εὐλαβοῦνται μάλιστα καὶ διοικοῦσιν,
Εἰς δόξαν θείαν τῆς παναγνοῦ Παρθένου,
Καὶ τῆς σεπτῆς Κάρας σου, ἣν ἐδωρήσω,
Ἡμῖν τοῖς οἰκτροῖς οἰκέταις τῆς Μονῆς σου.

Μαρ-



## Μαρτύριον καὶ Βίος, τοῦ Ἁγίου Ἱερομάρτυρος Σεραφείμ, Ἀρχιεπισκόπου Φαναρίου καὶ Νεοχωρίου τοῦ Θαυματουργοῦ.

Εὐλόγησον Πάτερ.

Οἱ Ἅγιοι καὶ Θεοφόροι Πατέρες, διὰ τῆς χάριτος τοῦ Παναγίου Πνεύματος, ἐδιώρισαν εἰς ἡμᾶς τὰς ἐτησίους μνήμας τῶν ἁγίων, ὡσὰν εἰκόνας θαυμαστάς. ὥστε ἀναγινωσκομένων ἐν αὐταῖς τῶν βίων αὐτῶν, καὶ ἱστορουμένων τῶν ἐναρέτων τους ἔργων, ὄχι μόνον νὰ ἀκούωμεν αὐτὰ συνερχόμενοι εἰς τὰς Ἐκκλησίας, καὶ εἰς τοὺς Ἱεροὺς ναοὺς αὐτῶν, ἀλλὰ καὶ ἐντυπώνοντές τα μέσα εἰς τὸ ἐνθυμητικόν μας, νὰ τὰ ἔχωμεν πάντοτε διὰ μνήμης, καὶ νὰ παρακινούμεθα ὅσον εἶναι τῆς δυνάμεώς μας εἰς τὴν μίμησίν τους· προσκαλούμενοι αὐτοὺς διὰ νὰ μᾶς βοηθήσουν μὲ τὴν πρεσβείαν τους, εἰς κάθε ψυχοσωτήριον ἔργον, καὶ εἰς τὰς σωματικὰς ἐπηρείας, καὶ ψυχικὰς περιστάσεις. Εἰς αὐτοὺς λοιπὸν καὶ ἐγὼ ὁ εὐτελὴς, πειθόμενος τοὺς πνευματοφόρους Πατέρας, ἠθελήθην νὰ διηγηθῶ πρὸς τὴν ἀντίληψίν σας τὸν βίον, καὶ τὸ Μαρτύριον, τοῦ σήμερον ἑορταζομένου, (κατὰ τὴν διάταξιν αὐτῶν τῶν ἁγίων Πατέρων) ἁγίου Ἱερομάρτυρος Σεραφείμ, καὶ νὰ ἱστορήσω μέσα εἰς τὸ ἐνθυμητικόν σας, μὲ τὴν χάριν τοῦ Ἁγίου, τὴν εἰκόνα τῶν κατορθωμάτων του. ὅθεν παρακαλῶ δότε ὀλίγην προσοχὴν εἰς τὰ λεγόμενα, διὰ νὰ σχηματισθῇ καὶ ἡ εἰκὼν εἰς τὸν νοῦν σας ἐπιτηδειοτέρα, καὶ καθαρωτέρα εἰς παντοτινὴν ἐνθύμησιν, καὶ ψυχωφελῆ παρακίνησιν.

Οὗτος λοιπὸν ὁ Ἅγιος Σεραφεὶμ ὁ Ἱερομάρτυς,



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἦτον ἐκ τινος χωρίου τῶν κειμένων εἰς τὸν κάμπον
τῆς Ναυπόλεως, παρὰ τοὺς πρόποδας τῶν Ἀγρά-
φων, Μπεζῆλα ὀνομαζόμενον, γεννηθεὶς εἰς αὐτὸ
ἀπὸ γονεῖς θεοσεβεῖς ϗ ἐναρέτους Σωφρόνιον, ϗ Μα-
ρίαν, ϗ καλῶς παρ' αὐτῶν ἀναστραφεὶς· οἱ ὁποῖοι
ἔχοντες πάντοτε ἔργον καθ' αὐτὸ τὴν εὐσέβειαν, ϗ
τὴν ἐργασίαν τῶν ἐντολῶν τοῦ Χριστοῦ, δὲν ἐδίδαξαν
τὸν φίλτατόν τους Υἱὸν, νὰ ἀγαπᾷ δόξας ϗ τιμὰς,
ϗ ἡδονὰς τοῦ Κόσμου, ἀλλ' ἐκ πρώτης ἡλικίας τὸν ἔ-
βαλαν εἰς τὸ σχολεῖον τῶν ἱερῶν γραμμάτων. ὁ δὲ
παῖς φύσεως δεξιᾶς τυχὼν, ἐντὸς ὀλίγου χρόνου ἐ-
παιδεύθη καλῶς ἅπασαν τὴν ἱερὰν Ἀκολουθίαν.
παιδευθεὶς δὲ ἱκανῶς εἰς τὸ σχολεῖον, ϗ εὑρισκόμε-
νος εἰς τὸν πατρικόν του οἶκον, τὸν περισσότερον
καιρὸν τὸν ἐπέρνα εἰς ἀνάγνωσιν θείων γραφῶν ϗ
βίων ἁγίων. Ἀλλὰ ϗ τὴν εὐλάβειαν ἔχων πρὸς
τὰς ἱερὰς Ἐκκλησιαστικὰς Ἀκολουθίας, δὲν ἔλειπε
πάντοτε ἀπὸ τὴν Ἐκκλησίαν. Καὶ ταῦτα μὲν ϗ πε-
ρισσότερα τούτων ἔκαμνεν, ἔτι παιδίον ὢν, ϗ ὑπὸ
τὴν ἐξουσίαν τῶν γονέων του. ὁπόταν δὲ ἦλθεν εἰς
μέτρον ἡλικίας, γενόμενος τῆς ἐξουσίας του, πάντα τὰ
τοῦ Κόσμου, ϗ τὸν Κόσμον αὐτὸν ἀφεὶς, ϗ χωρήσας
τὸν ἑαυτόν του ἀπὸ κάθε βιωτικὸν, ἐζήτει τόπον
ἐπιτήδειον, ἡσυχίας τε ϗ ἀρετῆς ἐργαστήριον. ὅθεν
ἀνέρχεται, εἰς τὰ ὄρη τῶν Ἀγράφων· ϗ περιερχό-
μενος μὲ θεῖον ἔρωτα τὰ ἱερὰ μοναστήρια, ἦλθε ϗ
εἰς τὴν ἱερὰν μονὴν τῆς Κυρίας Θεοτόκου ὁποῦ ὀνο-
μάζεται Κρυερὰ Πηγὴ ϗ Κορῶνα. (περὶ τῆς ὁποίας
ἱερᾶς μονῆς ἄξιον εἶναι νὰ φανερώσωμεν τὸν τόπον
ἔνθα εὑρίσκεται.) Αὐτὴ ἡ ἱερὰ μονὴ ἧς τὸ ἐπώνυ-
μον Κρυερὰ Πηγὴ, ἔχουσα τὸ κλέος ϗ τὴν φήμην ἀ-
ξιά-



ξιάγαστον ϗ περιλάλητον διὰ τὴν ἐν αὐτῇ εὑρισκο-
μένην πάνσεπτον ϗ θαυματόβρυτον εἰκόνα τῆς Ὑπε-
ραγίας ἡμῶν Θεοτόκου, εὑρίσκεται οὐ μακρὰν ἀπέχου-
σα τοῦ ἄνωθεν χωρίου τοῦ Ἁγίου, ἐν αὐτοῖς δηλαδὴ
τοῖς Ἀγράφοις, ἀναμέσον τοῦ κλίματος Λαρίσσης τε
ϗ Τρίκκης, ἐκτισμένη λαμπρῶς ϗ φιλοτίμως εἰς τό-
πον ὀρεινὸν καὶ περίβλεπτον, καὶ ὁρῶσα ὅλον τὸν
κάμπον τῆς Ἑλλάδος, ϗ ὁρωμένη ὑπ' αὐτοῦ ἀληθῶς,
ὡσάν τις κορῶνα, ἢ στέφανος, οὐκ ὀλίγων διαλαμψάν-
των ἐν αὐτῇ Μοναχῶν κατ' ἀρετήν τε καὶ ἄσκησιν.
ἰδὼν δὲ τὴν μονὴν ἐπιτηδείαν εἰς ἐργασίαν ἀρετῆς,
ϗ τὸν τόπον καθὼς ἐπεθύμει ἡ ψυχή του, ἔμεινεν
ἐκεῖ, ϗ τὸ Ἀγγελικὸν ἐνεδύθη σχῆμα. ταχθεὶς δὲ
εἰς τὸν χορὸν τῶν Μοναχῶν, ἔπασχε ϗ ἠγωνίζετο
μὲ μεγάλην προθυμίαν νὰ μιμῆται τοὺς πλέον ἐνα-
ρέτους, ϗ νὰ δρέπεται καθ' ἑκάστην ἀπὸ αὐτοὺς ἄν-
θη ἀρετῶν, ϗ νὰ στολίζῃ τὸν ἑαυτόν του. ὅθεν εἰς ὀλί-
γον καιρὸν ἐκατόρθωσε πᾶσαν ἀρετήν· νηστείαν λέ-
γω, ἀγρυπνίαν, τὴν θείαν ἀγάπην, ϗ τὴν οὐρά-
νιον ταπείνωσιν, μὲ τὸ μέσον τῆς ἁγίας ὑποταγῆς.
τοιοῦτος δὲ γενόμενος, ἐφάνη εὔλογον τῷ προεστῶτι,
ϗ τοῖς λοιποῖς ἀδελφοῖς, νὰ τὸν τάξουν εἰς τὸν κλῆ-
ρον τῆς Ἐκκλησίας. ϗ λοιπὸν ψήφῳ κοινῇ, χειρο-
τονεῖται ἀναγνώστης, ὑποδιάκονος, ϗ διάκονος. ποιή-
σας ἀρκετὸν καιρὸν εἰς κάθε βαθμὸν κατὰ τοὺς θείους
ὅρους. ϗ οὕτως αἰνεῖ τὸν Κύριον ἐν καθέδρᾳ πρεσβυ-
τέρων, ὁ ὄντως ἄξιος τῆς τοιαύτης καθέδρας. μετὰ
δὲ παρέλευσιν ὀλίγου καιροῦ, τοῦ Φαναρίου ϗ Νεοχω-
ρίου τὸ κοινὸν χρέος ἐκμετρήσαντος, ϗ εἰς τὰς οὐρα-
νίους μονὰς ἀπελθόντος, ἔκαμνε χρεία νὰ ταχθῇ
ἄλλος εἰς τὴν Ἐκκλησίαν ἐκείνην, νὰ ποιμαίνῃ τὸ
D 4 λο-

λογικὸν τοῦ Χριστοῦ ποίμνιον. συζητήσεως δὲ γενομένης, εὑρέθη ὁ οὐράνιος οὗτος ἄνθρωπος Σεραφεὶμ, καὶ ψηφισθεὶς, τάττεται ὁ φωτεινὸς λύχνος ἐπὶ τὴν λυχνίαν, διὰ νὰ φωτίζῃ τοὺς πιστούς· ὁ ἄξιος ἐργοδότης εἰς τοὺς ἐργάτας τοῦ ἀμπελῶνος Χριστοῦ· ὁ καλὸς οἰκονόμος εἰς τὴν καλὴν οἰκονομίαν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας. ὁ δὲ Ἅγιος ἀναλαβὼν τὴν φροντίδα τῶν τοσούτων ψυχῶν, ἔδωκε τὸν ἑαυτόν του καὶ εἰς περισσοτέρους ἀγῶνας, φροντίζων διὰ τὸ ποίμνιόν του ὡς ἴδιος καὶ καλὸς ποιμὴν, ὁδηγῶν αὐτὸ εἰς νομὰς σωτηρίους τῶν ἐντολῶν τοῦ Κυρίου, καὶ ποτίζων αὐτὸ μὲ τὰ νάματα τῆς εὐσεβοῦς καὶ καλῆς του διδασκαλίας. ἀλλὰ καὶ ἐν τούτοις καὶ τοιούτοις εὑρισκόμενος, ἔχων ἔνοικον τὴν ὑψοποιὸν ταπείνωσιν, ἐνόμιζε νὰ μὴ κάμνῃ τίποτες ἄξιον ἔργον, καὶ δοῦλον ἀχρεῖον ἀπεκάλει τοῦ λόγου του. διὰ τοῦτο καὶ ἐπεθύμει νὰ ἀξιωθῇ καὶ μαρτυρικῶν στεφάνων, καὶ τὸν Θεὸν περὶ τούτου καθ᾽ ἑκάστην ἐπικαλούμενος. ὁ δὲ ποιῶν τὸ θέλημα τῶν φοβουμένων αὐτὸν Θεὸς, οὐ παρεῖδε τὴν δέησίν του, οὔτε τὸν ἄφησεν ὑστερημένον τῆς καλῆς του ταύτης ἐπιθυμίας. ἀλλὰ τὸν ἠξίωσε νὰ λάβῃ καὶ τὸν στέφανον τῆς καλῆς ταύτης ὁμολογίας τοῦ Μαρτυρίου μὲ τρόπον θαυμάσιον. εἰς καιρὸν τοιοῦτον, εἰς τὸν ὁποῖον, ἀγκαλὰ καὶ νὰ ἦτον τὸ κράτος ἀσεβὲς, πλὴν Χριστὸς δὲν ἐδιώκετο, καθὼς καὶ εἰς τοὺς παρόντας καιρούς. τὸ ὁποῖον ἔγινεν οὕτως, καθὼς θέλομεν τὸ διηγηθῇ μὲ συντομίαν. κατὰ τὸ, ͵αχά. ἔτος ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας, ἐχρημάτισε Μητροπολίτης Λαρίσσης Διονύσιος ὀνομαζόμενος. ὁ ὁποῖος ὤντας κακογνώμων καὶ κακότροπος, ἐπειδὴ εἰς λόγους καὶ ὑποσχέσεις Φράγγων, καὶ συνεργίᾳ δαιμονικῇ ἐμάζωξε πλῆθος

ἱκα-



ἱκανὸν, καὶ ἐκίνησε κατὰ τῶν κρατούντων τούρκων πόλεμον, ὁρμήσας πρὸς τὰ μέρη τῶν Ἰωαννίνων. ὅθεν πολλοὺς ἐφόνευσε. καὶ ἄλλοι μὴν ὑπομένοντες τὰς καταδρομάς του, ἔφυγον ἀπὸ τοὺς τόπους ἐκείνους. ἀλλ᾽ ὅμως εἰς ὀλίγον καιρὸν πιασθεὶς, ἔδωκε τὴν πρέπουσαν δίκην, ἐλεεινῶς φονευθεὶς παρ᾽ αὐτῶν, παραχωρήσει Θεοῦ, ὡς ἀνάξια ποιήσας τοῦ ἐπαγγέλματός του. Ὁ δὲ Ἅγιος οὗτος Σεραφεὶμ, καὶ ζῶντος τοῦ ῥηθέντος Διονυσίου, ἐγνώριζε τὴν κακογνωμίαν του, καὶ ὅσον ἐδύνετο ἀπέφυγε τὴν συναναστροφήν του, περιερχόμενος πάντοτε εἰς τὰ καθ᾽ αὐτὸν χωρία, καὶ τὸν λαὸν τοῦ Χριστοῦ διδάσκων. πιασθέντος δὲ ὡς εἴπομεν τοῦ Διονυσίου, καὶ φονευθέντος, καὶ τῶν τούρκων εὑρισκομένων ἔτι εἰς τὴν ταραχὴν ἐκείνην, ἔκαμνε χρεία νὰ κατέβῃ ὁ Ἅγιος εἰς Φανάριον τοῦ καιροῦ ἐλθόντος διὰ νὰ μοιράσῃ, εἰς τοὺς ἐκεῖσε ἀγάδες τὰ συνήθη πεσχέσια. εἰς δὲ τὸ Φανάρι ἦσαν τινὲς τοῦρκοι ἀγάδες φθονοῦντες τὸν Ἅγιον, διὰ τὴν ἀρετήν του, ὑπὸ τοῦ δαίμονος παροξυνθέντες, καὶ ἐζήτουν καιρὸν, καὶ τρόπον ἐπιτήδειον, ὥστε ἢ νὰ τὸν ῥίψουν ἀπὸ τόσον ὕψος τῆς ἀρετῆς, εἰς ἀσέβειαν, ἢ νὰ τὸν εὐγάλουν ἀπὸ τὴν παροῦσαν ζωήν. ὅθεν αἰτίας δραξάμενοι εὐλόγου τῆς ἀποστασίας τοῦ Διονυσίου, καθὼς εἶδον τὸν Ἅγιον, ἄρχισαν νὰ λέγουν ἀναμεταξύ τους· καὶ οὗτος μετὰ τοῦ Διονυσίου ἦτον. καὶ τώρα πῶς ἐτόλμησε καὶ ἦλθεν ἔμπρός μας, ἐπίβουλός μας ὤντας; ὁ δὲ Ἅγιος ἀκούων ταῦτα ἠπόρει, καὶ ὡς ἀναίτιος ὢν, ἐνόμιζε νὰ τὰ λέγουν περὶ ἄλλου τινός. διὰ τοῦτο καὶ μὲ θάῤῥος τοὺς ἐρώτησε· περὶ τίνος, φησὶ, λέγετε ταῦτα; οἱ δὲ ἀποκριθέντες μετὰ θυμοῦ εἶπον· διὰ λόγου σου, ὦ ἀποστάτα, καὶ ἐπίβουλε. νὰ ὁποῦ ἦλθες εἰς τὰς χεῖράς



μας.

μας. τώρα θέλεις λάβει ϗ ἐσὺ ἐκεῖνο ὅπου σοῦ πρέπει· ἔξω μόνον ὀπίσως ϗ θελήσῃς νὰ ἀφήσῃς τὴν πίστιν σου, ϗ νὰ γίνῃς τοῦρκος, τότε θέλομεν σὲ συγχωρήσει, ϗ σὲ τιμήσει μεγάλως, ὥσαν ὅπου μὲ τὸν τρόπον τοῦτον γνωρίζομεν πῶς ἐμετανόησες, ϗ ἔγινες ἕνα μὲ τοῦ λόγου μας. ὁ δὲ Ἅγιος καίτοι παρ' ἐλπίδα ταῦτα ἀκούσας, ποθῶν δὲ ϗ ὡς εἴρηται τὸ ὑπὲρ Χριστοῦ Μαρτύριον, δὲν ἐδειλίασε τελείως, ἀλλὰ σταθεὶς μὲ καθαρὸν καὶ ἀσύγχιστον πρόσωπον τοὺς εἶπεν. ὅτι μὲν ἐγὼ ἀπὸ τὴν τοιαύτην κατηγορίαν εἶμαι τελείως ἀμέτοχος, ὄχι μόνον ἅπαντες οἱ Χριστιανοὶ τὸ ὁμολογοῦσιν, ἀλλὰ ϗ ἐσεῖς οἱ τοῦρκοι (ἐὰν θέλετε νὰ φανερώσετε τὴν ἀλήθειαν) τὸ γνωρίζετε καλήτερα. τοῦτο δὲ ὅπου λέγετε νὰ ἀφήσω τὴν πίστιν μου, διὰ νὰ ἐλευθερωθῶ ἀπὸ τὸν θάνατον, δὲν θέλω τὸ καταδεχθῇ κατ' οὐδένα τρόπον, νὰ ἀφήσω τὸν γλυκύτατόν μου Ἰησοῦν, ϗ νὰ συνταχθῶ τῷ δαίμονι· ϗ μάλιστα ὅπου θέλω πάθει ἀδίκως, καὶ διὰ τοῦτο ἐλπίζω ἀπὸ τὸν Δεσπότην μου νὰ τύχω ϗ περισσοτέρας τιμῆς. τὴν δὲ τιμὴν τὴν ἐδικήν σας, οὔτε νὰ τὴν ἀκούσω δὲν τὸ καταδέχομαι. ταῦτα ἀκούσαντες οἱ ἀσεβέστατοι, ϗ ἰδόντες ὅτι ἀπέτυχον τοῦ πρώτου σκοποῦ, ὥρμησαν ἅπαντες κατὰ τοῦ Ἁγίου, ϗ ἕλκοντες αὐτὸν μὲ βίαν μεγάλην, ὡς ὠμοὶ ϗ ἀπάνθρωποι, τὸν ἤφεραν εἰς τὸν ἡγεμόνα (τὸν παρ' αὐτοῖς Χαμουζάμπεην ὀνομαζόμενον) ϗ ἐβόων κατὰ τοῦ δικαίου, ϗ ἀθρόως λέγοντες. καὶ οὗτος μετὰ τοῦ καταράτου Διονυσίου ἦν, ἐχθρὸς ϗ ἐπίβουλός μας. διὰ τοῦτο εὔγαλέ τον ἀπὸ τὴν ζωήν του μὲ κακὸν θάνατον, διὰ νὰ παιδευθοῦν ϗ ἄλλοι. ϗ ταῦτα μὲν ἐκεῖνοι· ὁ δὲ ἡγεμὼν καθήσας ἐπὶ θρόνου, παρέστησε

τὸν



τὸν Ἅγιον ἔμπροσθέν του· ϗ πρῶτα μὲν ἄρχισε ϗ αὐτὸς μὲ τρόπον ἥμερον νὰ λέγῃ πρὸς τὸν Ἅγιον, βλέπω σε ἄνθρωπε, πῶς εἶσαι φρόνιμος, ϗ θαυμάζω πῶς ἐσυμφώνησες μὲ ἐκεῖνον τὸν κακὸν ἄνθρωπον, ϗ δὲν ἐμέτρησες εἰς τὸν νοῦν σου πῶς ἠθέλετε νὰ ἐπιχειρισθῆτε πρᾶγμα ἀδύνατον, ϗ τῆς ζωῆς σας ὀλέθριον· ϗ ἰδοὺ βλέπεις πῶς ἐκεῖνος κακὸς, κακῶς ἀπώλετο. ϗ ἐσὺ νὰ ὅπου ἐπιάσθης, ϗ κινδυνεύει ἡ ζωή σου, νὰ ἀποθάνῃς μὲ ἐλεεινὸν θάνατον, ϗ ἐπώδυνον. ὅμως ἐγὼ βλέποντας τὴν φρονιμάδα σου, λέγω, πῶς ὡς ἄνθρωπος νὰ ἠπατήθης, ϗ λυπούμενος νὰ σὲ θανατώσω, σὲ συμβουλεύω νὰ γίνῃς τοῦρκος· ϗ μὲ τοῦτο ὄχι μόνον τὴν ζωήν σου θέλομεν σὲ χαρίσει, ἀλλὰ ϗ εἰς τιμὴν μεγάλην θέλομεν σὲ ἔχει διὰ τὴν φρονιμάδα σου. ὁ δὲ Ἅγιος μὲ συντομίαν ἀποκριθεὶς εἶπεν. ὅτι μὲν ἄδικα πάσχω, ϗ ἀναίτιος ὢν, ὡς ὑπαίτιος παρεδόθην, τὸ γνωρίζεις καλώτατα· ὅμως ἐγὼ τὴν πίστιν μου δὲν θέλω τὴν ἀρνηθῇ, οὔτε θέλω χωρισθῇ ποτὲ ἀπὸ τὸν γλυκύτατόν μου Δεσπότην ϗ Θεὸν, Ἰησοῦν Χριστὸν, κἂν μυρίους θανάτους ἤθελα λάβει διὰ τὸ ὄνομά του τὸ Ἅγιον, χαρὰν μου ϗ εὐφροσύνην τὸ ἔχω. πρὸς ταῦτα, ὦ ἡγεμόνε, σφάττε, κόπτε, ποίει ὅ,τι εἶναι τῆς ἐξουσίας σου. ταῦτα ἀκούσας ὁ ἀσεβὴς ἐκεῖνος ϗ ἄδικος κριτὴς, ἐπρόσταξε νὰ τὸν δείρουν ὥραν πολλὴν, ϗ ἀνηλεῶς νὰ κατακόψουν τὴν μύτην του εἰς λεπτά. τούτου γενομένου, καὶ τοῦ Ἁγίου πάσχοντος τὰ τοιαῦτα ὡς ἐν ἀλλοτρίῳ σώματι, ϗ εὐχαριστοῦντος ϗ εὐλογοῦντος τὸν Θεὸν, ἐπρόσταξεν ὁ κακὸς, ϗ ἀσεβὴς κριτὴς νὰ τὸν ῥίψουν εἰς φυλακὴν, ϗ νὰ τὸν ἀφήσουν τελείως ἀνεπιμέλητον, καὶ οὔτε τροφὴν τινὰ

νὰ

νὰ τὸν δώσουν, οὔτε ποτὸν, μήπως καὶ μεταγνωμήση, καὶ κάμη τὸ θέλημά τους. ὁ δὲ Ἅγιος ἐν τῇ φυλακῇ εὑρισκόμενος, καὶ βλέπων εἰς τοῦ λόγου του τὰ στίγματα τοῦ Χριστοῦ ἔχαιρε, καὶ τῷ Χριστῷ μεγάλας ὡμολόγει τὰς χάριτας, ὁποῦ τὸν ἠξίωσε νὰ πάθῃ διὰ τὸ ὄνομά του τὸ Ἅγιον, καὶ τὸν ἐπαρακάλει νὰ τοῦ δώσῃ ὑπομονὴν νὰ τελειώσῃ τὸ Μαρτύριον. Τῇ δὲ ἑξῆς καθήσας πάλιν ὁ ἄρχων ἐπὶ τοῦ δικαστικοῦ θρόνου μὲ ἄμετρον ἔπαρσιν, ἐπρόσταξε καὶ ἔφεραν τὸν Ἅγιον ἔμπρός του· καὶ ἄρχισε νὰ λέγῃ πάλιν πρὸς αὐτόν. ἆρά γε ὦ Σεραφεὶμ, ἐσωφρονίσθης ἀπὸ τὴν χθεσινὴν παιδείαν, καὶ ἐγνώρισες τὸ συμφέρον σου, ὁποῦ νὰ κάμῃς ἐκεῖνο ὁποῦ σὲ λέγω, καὶ ὡς φίλος σου σὲ συμβουλεύω, ἢ στέκεις ἀκόμι εἰς τὴν κακογνωμίαν ἐκείνην; ὁ δὲ Ἅγιος ἱστάμενος φαιδρῷ τῷ προσώπῳ, εἶπεν· ἔπρεπεν ὦ ἡγεμὼν, πρὸς ταῦτα νὰ μὴ σὲ δώσω καμμίαν ἀπόκρισιν, ἐπειδὴ καὶ λέγεις πῶς εἶσαι φίλος μου, καὶ μὲ συμβουλεύεις τοιαύτην ἀσεβῆ συμβουλὴν, ὁποῦ νὰ ἀφήσω τὸν Κύριόν μου Ἰησοῦν, τὸν Ποιητήν μου καὶ Πλάστην μου, καὶ νὰ πιστεύσω εἰς ἕνα ψεύστην προφήτην, καὶ ἀσεβῆ ἄνθρωπον. ταῦτα λέγοντος τοῦ Ἁγίου, ὁ ἀσεβὴς ἐκεῖνος, δὲν ὑπέμεινε νὰ τελειώσῃ ὁ Ἅγιος τὸν λόγον του, ἀλλὰ εὐθὺς ἐπρόσταξε πάλιν νὰ τὸν δέρουν σφοδρότατα, ἔπειτα νὰ τὸν τανίσουν χεῖρας καὶ πόδας, καὶ νὰ βάλλουν ἐπάνω εἰς τὴν κοιλίαν του, μίαν μεγάλην πέτραν, καὶ ἀνηλεῶς νὰ κατακόπτουν, καὶ νὰ ξεσχίζουν τὰς σάρκας του. Ἔπειτα τὸν ἐπότιζαν νερὸν μετὰ κονιορτοῦ καὶ χολῆς μεμιγμένον. ὁ δὲ Ἅγιος, τὸ τοῦ Δεσπότου Χριστοῦ πάθος ἰδὼν γινόμενον εἰς αὐτὸν, ἔχαιρεν· εἰς τοσοῦτον ὁποῦ καὶ αὐτοὶ οἱ ἀνηλεεῖς δήμιοι, βλέποντες





τες τον ὁποῦ ὑπέμεινε τὰ τοιαῦτα, καὶ τοσαῦτα μετὰ εὐχαριστίας, καὶ τὸ πρόσωπόν του ὁποῦ ἦτον λαμπρὸν καὶ εὐφραινόμενον, ὡσὰν νὰ ἦτον εἰς εὐωχίαν, καὶ ὄχι εἰς τιμωρίαν ἐθαύμαζον. ὁ δὲ ἀπάνθρωπος, καὶ λιθοκάρδιος ἐκεῖνος τύραννος, ἀπαυδήσας τοῖς ὅλοις, ἔδωκε τὴν τελευταίαν κατ' αὐτοῦ ἀπόφασιν, νὰ τὸν παλουκώσουν διὰ νὰ λάβῃ βίαιον θάνατον. φερομένου δὲ τοῦ Ἁγίου εἰς τὸν τῆς καταδίκης τόπον, μία ἀράπισσα, μελανωτέρα εἰς τὴν ψυχὴν παρὰ εἰς τὸ σῶμα, ἱσταμένη ἀπὸ τινα τοῖχον, ὕβριζε καὶ ἀτίμαζε τὸν Ἅγιον, μὲ αἰσχρὰς καὶ ἀτίμους ὕβρεις. ὁ δὲ τοῦ Δεσπότου Χριστοῦ θεράπων πιστότατος, μιμούμενος καὶ κατὰ τοῦτο τὸν Χριστὸν, κατάραν μὲν κατὰ τῆς ἀθέου ἐκείνης οὐδεμίαν εἶπεν, ἀλλὰ μόνον στραφεὶς καὶ ἰδὼν αὐτὴν μὲ τὸ ἱλαρόν του ἐκεῖνο πρόσωπον, εὐθὺς ὡσὰν νὰ ηὗγε δύναμις ἀπὸ τὸ εὐλογημένον του πρόσωπον καὶ τὴν ἐκτύπησε· καὶ ὢ τοῦ θαύματος, ἐστράφη εἰς τὰ ὀπίσω ἡ ἀναιδὴς καὶ μεμελανωμένη ἐκείνη ὄψις, ὁμοίως καὶ τὸ στόμα καὶ τὰ ὀμμάτιά της ἐστράφησαν, καὶ ἔγινεν ὁμοία τῷ πατρί της διαβόλῳ, καὶ ἔζησε μὲ τὴν πληγὴν ἐκείνην χρόνους δεκαπέντε, γενομένη θέαμα ἐλεεινὸν εἰς τοὺς ὁρῶντας. πλὴν δύστροπος καὶ δαιμονιώδης οὖσα, καὶ τοιαῦτα παθοῦσα, δὲν ἄφησε τὴν κακογνωμίαν της, ἀλλὰ ἐπὶ τῇ ὁμοίᾳ δυστροπίᾳ διέῤῥηξε τὴν μιαρὰν της ψυχὴν ἀπελθοῦσα εἰς τὸν ἑτοιμασμένον αὐτῇ, καὶ πᾶσι τοῖς ὁμοίοις αὐτῆς τόπον τῆς αἰωνίου κολάσεως. Ὁ δὲ Ἅγιος φθάσας εἰς τὸν τῆς καταδίκης τόπον ἔνθα ἐγίνετο κατ' ἐκείνους τοὺς καιροὺς τὰ συναλλάγματα, ἤτοι τὸ παζάρι, πλησίον εἰς τὴν εὑρισκομένην ἐκεῖσε κυπάρισσον, καὶ σουγλισθεὶς παρὰ

τῶν ἀσπλάγχνων, εὐχαριστῶν παρέδωκε τὴν ἱεράν του καὶ τρισολβίαν ψυχὴν εἰς χεῖρας Θεοῦ, τῇ δ΄. Δεκεμβρίου. Τὸ δὲ Ἅγιόν του σῶμα, ὥρισεν ὁ θηριώδης ἐκεῖνος ἄρχων, νὰ μείνῃ ἐπάνω τοῦ ξύλου ἡμέρας πολλὰς, τάχα διὰ σωφρονισμὸν ἄλλων. ἀλλὰ καὶ μὲ ὅλον ὁποῦ ἔμεινε νεκρὸν ἡμέρας ἱκανὰς δὲν ἔπαθε τίποτες διὰ τῆς χάριτος τοῦ Θεοῦ, ἀπὸ ὅσα εἶναι τῆς φύσεως τῶν νεκρῶν σωμάτων νὰ πάσχουν. οὔτε ἐξωγκώθη δηλαδὴ, οὔτε δυσοσμίαν τινὰ εὔγαλεν. ἀλλὰ καὶ τὸ ἐναντίον ἔγινε, καὶ ὡσεὶ ζῶν ἐφαίνετο, καὶ εὐωδίαν εὔγανεν ἄρρητον. τὸ ὁποῖον καὶ οἱ ἀσεβεῖς βλέποντες ἐθαύμαζον. οἱ δὲ εὐσεβεῖς ἔχαιρον, καὶ τῷ Θεῷ μεγάλας ἀπεδίδον τὰς εὐχαριστίας, διὰ τὴν καλὴν ὁμολογίαν τοῦ Ἁγίου, καὶ ὅτι εἰς τοιαύτην ἐσχάτην γενεὰν, τοὺς ἠξίωσε νὰ ἰδοῦν ἐκεῖνα, ὁποῦ εἶχον ἐξ ἀκοῆς νὰ ἔγιναν εἰς τοὺς παλαιοὺς καιρούς. Θέλοντες δὲ νὰ πάρουν τὸ ἀθλητικὸν ἐκεῖνο σῶμα, νὰ τὸ ἔχουν εἰς ἐπίσκεψιν καὶ βοήθειάν τους, δὲν ἐδυνήθησαν, ὅτι ὁ ἀνήμερος ἐκεῖνος θὴρ, ἔβαλεν ἱκανοὺς φύλακας, καὶ τὸ ἐφύλαγαν ἡμέρα καὶ νύκτα. μετὰ δὲ ἡμέρας ἔκοψαν τὴν μακαρίαν του Κεφαλὴν, καὶ τὴν ἔφεραν εἰς Τρίκκαλα, μαζὶ μὲ ἄλλας κεφαλὰς κακούργων. τὰς ὁποίας βάνοντές τας εἰς κοντάρια, τὰς ἔστησαν κατὰ σειρὰν ὅλας, βλέπουσαι πρὸς δυσμάς. καὶ ταῦτα μὲν ἔκαμνον ἑσπέρας, τὸ δὲ πρωῒ, αἱ μὲν λοιπαὶ ἅπασαι κεφαλαὶ τῶν κακούργων, ἐστέκοντο καθὼς τὰς ἔβαλον, τὴν δὲ τοῦ Ἁγίου Κεφαλὴν τὴν εὕρισκον, ὁποῦ ἔβλεπε κατὰ ἀνατολάς. καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ εἰς πολλὰς ἡμέρας γινόμενον. Κατὰ δὲ τὸν καιρὸν τοῦτον ὁποῦ ἐτελεῖτο τὸ τοιοῦτον θαυμάσιον, κατ᾽ οἰκονομίαν Θεοῦ,

ἔτυ-



ἔτυχεν ἐκεῖ εἰς Τρίκκαλα ὁ ἡγούμενος τῆς ἱερᾶς μονῆς τῆς καλουμένης Δούσικον, καὶ ἰδὼν ὀφθαλμοφανῶς τὸ θαῦμα, ἔθετο εἰς τὴν καρδίαν του βουλὴν καλὴν, καὶ ζῆλον Θεοῦ νὰ κάμῃ τρόπον νὰ πάρῃ τὴν ἱερὰν ἐκείνην καὶ πολύτιμον Κεφαλὴν εἰς τὸ Μοναστήριόν του, νὰ τὴν ἔχῃ εἰς ἁγιασμὸν, καὶ θησαυρὸν τοῦ Μοναστηρίου του ἄξιον. ὅθεν συμφωνήσας μετά τινος ἀλβανίτου Χριστιανοῦ, τὸν ἔταξε γρόσια πεντήκοντα νὰ κάμῃ τρόπον, νὰ κλέψῃ τὴν Θαυματουργὸν ἐκείνην Κεφαλὴν νὰ τοῦ τὴν φέρῃ· ὅστις ἐπιτηρήσας τὸν καιρὸν ὅλην τὴν νύκτα ἐκείνην, καὶ κοντὰ πρὸς τὴν αὐγὴν, θεασάμενος τοὺς φύλακας, ὁποῦ ἀπὸ τὴν ἀγρυπνίαν νικηθέντες ἐτράπησαν εἰς ὕπνον, ἐπῆγεν ὅσον ἐδύνετο ἀψοφητί. πλὴν κατεβάζοντας τὴν τιμίαν Κεφαλὴν ἀπὸ τὸ ξύλον, ἀπό τε τὴν βίαν, καὶ τὸν φόβον του, ἄφησε τὸ ξύλον, καὶ πεσὸν ἐκτύπησε, καὶ τοὺς φύλακας ἐξύπνησεν. οἱ ὁποῖοι βλέποντες τὸν καλὸν ἐκεῖνον Χριστιανὸν, ὁποῦ ἔκαμνε τὴν τοιαύτην θαυμαστὴν κλεψίαν, ἔδραμον νὰ τὸν πιάσουν. Ὁ δὲ γενναῖος ἐκεῖνος, τοῦτο μὲν διὰ τὸν ζῆλον, τοῦτο δὲ καὶ διὰ τὸν μισθὸν, τολμήσας ἅρπαξε τὸν πολύτιμον ἐκεῖνον θησαυρὸν ἀπὸ τὰς τρίχας, καὶ τὸν ἔρριψεν εἰς τοὺς ὤμους του, καὶ ὅσον ἐδύνετο ἔφυγεν. ἐδίωκάν τον δὲ καὶ οἱ φύλακες μὲ πολλὴν ὁρμὴν, διὰ τὴν ἐντροπήν τους. ὁ δὲ καλὸς ἐκεῖνος Χριστιανὸς, γενόμενος ἐπάνω εἰς τὸ γεφύρι τῆς Σαλαμβρίας, καὶ βλέποντας τοὺς φύλακας, ὁποῦ τὸν ἐπλησίαζαν, καὶ φοβηθεὶς, ἔρριψε τὸ θαυμαστὸν κλέψιμον εἰς τὸν ποταμόν. ὅθεν καὶ οἱ φύλακες, ἰδόντες τὸ γεγονὸς ἐγύρισαν ἄπρακτοι. εἰς δὲ τὸν ποταμὸν ἐκεῖνον κάτωθεν τοῦ γεφυρίου

ἱκα-

ἱκανὸν διάστημα, κάποιοι ψαράδες εἶχαν φράκτας κατασκευασμένας διὰ νὰ πιάνουν ὀψάρια, εἰς τὰς ὁποίας φερομένη ἡ τρισόλβιος ἐκείνη Κεφαλὴ, ἐπιάσθη ἀπὸ τὰς τείχας. δύω δὲ ὄντων τῶν ψαράδων, ὁ μὲν εἷς ἐπῆγεν εἰς τὸ ὁσπήτιόν του, ὁ δὲ ἕτερος ἔμεινε τὴν νύκτα ἐκείνην νὰ φυλάττῃ τὰς φράκτας. καθήμενος δὲ εἰς τὸ κρεββάτι, καὶ βλέπων πρὸς τὴν φράκτην (ὢ τῶν θαυμασίων σου Χριστὲ Βασιλεῦ) εἶδεν ἕνα πύρινον στύλον, ὁποῦ ἐκράτει ἀπὸ τὴν φράκτην, καὶ ἔφθανεν ἕως εἰς τὸν Οὐρανὸν, καὶ ψαλμῳδίας θαυμαστὰς ἀοράτως ἤκουεν. Ἔμφοβος δὲ γενόμενος, εὐγῆκεν ἀπὸ τὸν ποταμὸν, καὶ ἀπελθὼν ἐκρύβη εἰς ἑνὸς δένδρου κούφωμα, καὶ ἔμεινεν ἐκεῖ ὅλην τὴν νύκτα ἄϋπνος. Ἀφ' οὗ δὲ ἐξημέρωσεν, ἐξελθὼν ἐκεῖθεν ἐπῆγεν εἰς τὰ Τρίκκαλα, καὶ ἐδιηγήθη τῷ συντρόφῳ του τὸ θαυμάσιον. ὅθεν τὴν ἐξῆς νύκτα, ἐπῆγαν καὶ οἱ δύω νὰ ἰδοῦν τί ἦτον τὸ φανέν. καὶ διανυκτερεύσαντες, εἶδον πάλιν ὁμοίως τὸν πύρινον στύλον, καὶ τὰς ψαλμῳδίας ἤκουσαν. καὶ μὴν ὑπομείναντες τὸ φοβερὸν τοῦ θαύματος, φεύγοντες ἐκεῖσε ἐπῆγαν πάλιν εἰς τὸ κουφωτὸν δένδρον. καὶ εἰσελθόντες ἔβλεπον ἐκεῖθεν ἀπὸ τὴν τρύπαν τὸ τεράστιον ὅλην τὴν νύκτα, μὴ κοιμηθέντες τελείως ἀπὸ τὸν φόβον τους. ἐλθούσης δὲ τῆς ἡμέρας, ἐπῆγαν νὰ ἰδοῦν τί ἦτον τὸ θαῦμα ὁποῦ τὴν νύκτα ἔβλεπον· καὶ στοχαζόμενοι πρὸς ἐκεῖνο τὸ μέρος, ὁποῦ ἔβλεπαν τὸν πύρινον στύλον, ηὗραν τὴν μαρτυρικὴν καὶ χαριτόβρυτον Κεφαλὴν, περιπεπλεγμένην ἀπὸ τὴν φράκτην. ἐγνωρίσαντες δὲ αὐτὴν, ἐχάρηκαν εἰς τὴν εὕρεσιν τοῦ πολυτίμου θησαυροῦ. τοιγαροῦν περιστείλαντες αὐτὴν, καὶ ἀναλαβόντες

τὴν



τὴν ἔφερον τῷ ῥηθέντι ἡγουμένῳ. ὁ δὲ καλότυχος ἡγούμενος ἰδὼν τὸ ποθούμενον ἀνεσκίρτησε· καὶ λαβὼν τὸ θαυμαστὸν κυνῆγι, ἔδωκεν αὐτοῖς χάριν τῆς εὑρέσεως, γρόσια πεντήκοντα. μετὰ δὲ παρέλευσιν καιροῦ μαθόντες οἱ ἀδελφοὶ τῆς Κρυερᾶς Πηγῆς τὴν ὑπόθεσιν, ἔπεμψαν τὸν ἡγούμενόν τους, μετά τινος προεστοῦ τοῦ Νεοχωρίου, Παναγιώτου Κωσκολᾶ ὀνομαζομένου, διὰ νὰ πηγαίνουν νὰ ζητήσουν τὴν Ἱερὰν καὶ Μαρτυρικὴν Κάραν ἀπὸ Δούσικον, ὡς αὐτοῖς ἀνήκουσαν, διὰ τὸ εἶναι τὸν Ἅγιον Κοινοβιάτην της. ἀπερχόμενοι δὲ, κατ' οἰκονομίαν Θεοῦ, εὗρον εἰς Τρίκκαλα καὶ τὸν Μητροπολίτην Λαρίσσης. εἰς τὸν ὁποῖον ἐφανέρωσαν τὴν γνώμην τους, καὶ τὸν ἐπαρακάλεσαν νὰ τοὺς συνεργήσῃ εἰς τὸ δίκαιόν τους ζήτημα. ὁ ὁποῖος κρίνων τὸ δίκαιον, ἀποφάσισε νὰ λάβουν οἱ Δουσικιῶται τὰ πεντήκοντα γρόσια, καὶ νὰ δώσουν τὸν θησαυρὸν, ὅπερ καὶ ἐγένετο. ὁ δὲ ἡγούμενος, καὶ ὁ ῥηθεὶς Παναγιώτης, λαβόντες τὸ ποθούμενον, τὴν ἔφερον εἰς τὸ Μοναστήριον τῆς Κρυερᾶς Πηγῆς. καὶ κατασκευάσαντες κιβώτιον θαυμαστὸν τὴν ἔβαλον, καὶ εἰς τόπον ἱερὸν καὶ ἐπιτήδειον τὴν ἀπέθεσαν· ἡ ὁποία μένει καὶ μέχρι τοῦδε σῶα, εὐωδιάζουσα, καὶ θαύματα βρύουσα ἄπειρα, ἐλευθερώνουσα τοὺς πιστῶς προσερχομένους παντοίων νοσημάτων. καὶ εἰς τὴν ὀλέθριον πανοῦκλαν, ἐφάνη μυριάκις θαυματουργοῦσα, καὶ πολλὰς χώρας εὐσεβῶν ἐλευθεροῦσα, μέχρι τῆς σήμερον ἀπὸ τὴν χαλεπὴν ταύτην ἀσθένειαν.

Οὗτος λοιπὸν εἶναι ὁ βίος, καὶ τοῦτο εἶναι τὸ Μαρτύριον τοῦ Ἁγίου Ἱερομάρτυρος Σεραφείμ. τὸ ὁποῖον ἀκούοντες νομίζω, καὶ βέβαιός εἰμι, νὰ ἔγινε μέσα

εἰς

εἰς τὸ ἐνθυμητικὸν τῆς ψυχῆς σας, ἐκεῖνο ὅπου ἦτον εἰς τὴν ἀρχὴν τῆς διηγήσεως, νὰ ἱστορηθῇ δηλαδὴ (εἰ καὶ ἀπὸ ἀνεπιτήδειον χεῖρα, πλὴν διὰ τῆς χάριτος τοῦ Παναγίου Πνεύματος) μία θαυμάσιος Εἰκόνα· καὶ νὰ βλέπετε εἰς αὐτὴν, τὸν Δεσπότην καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν καθήμενον ἐπὶ Θρόνου λαμπροῦ, καὶ Βασιλικοῦ. καὶ ἀπὸ μὲν τὸ ἕνα μέρος, τὰ Σεραφὶμ δορυφοροῦντα. ἀπὸ δὲ τὸ ἄλλο μέρος, χοροὺς Ἁγίων Ἱεραρχῶν, Μαρτύρων, καὶ Ὁσίων. κατέναντι δὲ τοῦ Βασιλέως Χριστοῦ, τὸν σήμερον ἑορταζόμενον Ἱερομάρτυρα Σεραφεὶμ, προσφέροντα τῷ Δεσπότῃ καὶ Βασιλεῖ τῶν ἁπάντων δῶρα πολύτιμα. μὲ τὸ ἕνα χέρι μὲν τὴν ἀρχιερωσύνην μὲ τοὺς καρπούς της. καὶ μὲ τὸ ἄλλο, τοὺς ὁσιακοὺς καὶ ἀσκητικοὺς ἀγῶνας. μέσον δὲ τούτων τὸ Μαρτύριον βασταζόμενον, καὶ ἀσφαλῶς σφιγγόμενον, ἀπό τε τοὺς ἀσκητικοὺς ἱδρῶτας, καὶ τοὺς ἐπισκοπικοὺς καρπούς. καὶ τὸν μὲν Οὐράνιον Βασιλέα, ἀποδεχθέντα τὰ θαυμαστὰ καὶ πολύτιμα δῶρα, νὰ ἐγείρεται ἀπὸ τοὺς Χερουβικοὺς θρόνους, καὶ νὰ στεφανῇ τὸν πιστότατόν του θεράποντα Σεραφεὶμ, μὲ ἕνα τρίπλοκον διάδημα, ἐστολισμένον δηλαδὴ, μὲ μαρτυρικὰ, ἀρχιερατικὰ, καὶ ἀσκητικὰ χαρίσματα τοῦ Παναγίου Πνεύματος. τὰ δὲ Σεραφὶμ κρατοῦντα, καὶ εὐφημίζοντα νὰ παραλαμβάνωσι τὸν ὁμώνυμόν τους, καὶ νὰ τὸν φέρωσιν, ὡς μὲν Ὅσιον, εἰς τὸν χορὸν τῶν Ὁσίων. ὡς δὲ Ἱεράρχην, εἰς τοὺς Ἱεράρχας. καὶ εἰς τοὺς Μάρτυρας ὡς Μάρτυρα. ἐκ τῶν ὁποίων ἕκαστος χορὸς, δεχόμενος τὸν συναθλητήν τους, νὰ κάμωσι μίαν κοινὴν χαρὰν μὲ τὰ Σεραφὶμ, καὶ μὲ τὰς λοιπὰς Ἀγγελικὰς δυνάμεις, καὶ χοροὺς τῶν δικαίων. Ταῦτα λοιπὸν καὶ ἡμεῖς

θεω-



θεωροῦντες, ἀδελφοὶ, εἰς τὴν ζωγραφισθεῖσαν ἀληθινὴν Εἰκόνα, ἂς ἑορτάσωμεν καὶ ἂς πανηγυρίσωμεν μαζὶ μὲ τὰς Ἀγγελικὰς δυνάμεις, καὶ μὲ τοὺς χοροὺς τῶν δικαίων, ὄχι μὲ φαγοπότια ὡς ἐθνικοὶ, οὔτε μὲ χοροὺς καὶ παιγνίδια, ἀλλὰ μὲ ὕμνους, μὲ δοξολογίας, παρακαλοῦντες τὸν Ἅγιον νὰ παραλάβῃ μαζί του, τότε Σεραφὶμ, καὶ τοὺς περὶ αὐτὸν χοροὺς τῶν Ἁγίων, νὰ προσφέρουν τῷ Κυρίῳ καὶ Θεῷ ἡμῶν, πρεσβείαν δι' ἡμᾶς· ὅπως ἐδῶ μὲν νὰ λυτρωθῶμεν ἀπὸ κάθε θλίψιν καὶ πειρασμὸν τῶν ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν· ἐκεῖ δὲ νὰ τύχωμεν τῶν Οὐρανίων ἀγαθῶν, ἐν Χριστῷ τῷ ἀληθινῷ ἡμῶν Θεῷ. ᾧ πρέπει δόξα, τιμὴ καὶ κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ Παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΕΛΟΣ.

...ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

A

# NOI RIFORMATORI

Dello Studio di Padova.

AVendo veduto per la Fede di Revisione, ed Approvazione del Pubblico Revisor Dottor Natal dalle Laste. nel Libro intitolato la Accoluzia di san Serafino Martire. M. S. in Lingua, e Caratteri Greci non v' esser cosa alcuna contra la Santa Fede Cattolica, e parimente per Attestato del Segretario Nostro, niente contro Principi, e buoni costumi, concediamo Licenza a Nicolò Glichì Stampator di Venezia, che possi essere stampato, osservando gli ordini in materia di Stampe, e presentando le solite Copie alle Pubbliche Librarie di Venezia, e di Padova.

Data li 23. Ottobre 1790.

( Andrea Querini Riformator.

( Pietro Barbarigo Riform.

(

Registrato in Libro a Carte 380. al Num. 3030.

Marcantonio Sanfermo Seg.